Πρὸς δόξαν, πρὸς λαμπρότηταν, πρός τε τιμὴν καὶ πλοῦτον,
πρὸς κάλλος καὶ πρὸς φρόνησιν, πρὸς γνῶσιν, πρὸς ἀνδρείαν,
πρὸς ἔρωταν, πρὸς καλλονήν, πρὸς εἶδος εὐπρεπείας,
ἅπερ προσφέρουσιν χαρὰν ἐνήδονον καὶ τέρψιν,
ἐν τούτοις ἴδης κίνδυνον μέσον τούτοις καὶ ψόγον,
ἐλάττωμα καὶ πρόσκρουμα, τὰ προξενοῦντα λύπην,
εἰ μὴ καὶ μόνον στέρησιν τῶν ποθουμένων εἴποις.
Πόθος γὰρ (καὶ) πόθου στερηθεὶς ὑπομονὴν οὐκ ἔχει,
τῶν δ' ἄλλων ἔχει μέριμναν ἂν εἴποις οὐδεμίαν.
Ὡς γὰρ ἐνστάζει χάριτας ἔρως ἐν ἄλλοις πᾶσιν,
οὕτως ἐν μόνῳ χωρισμῷ γέμει πολλὰς πικρίας.

Titre. καλίμαχον (toujours avec un λ). χρυσορόη. διήγιμα.

1. προημίου πρόρησις. — 2. διήγισιν. — 3. πολυαγαπιμένου. — 4. πολυτευομένων. — 5. στραττομένων περιγήν. — 6. σύμηκτα. — 7. ἐκλύπει. — 8. οὐδὲ ἀπό. λυπιρὸν πολάκις. — 9. προςδ. πλούτον. — 10. προςκάλος. προςφρόνησιν. γνώσιν. ἀνδρίαν (toujours). — 11. καλωνήν. εἶδος. — 14. προξενούντα. — 15. εἴπης. — 16. στερηθής. οὐκέχει. — 17. τῶν δε. εἴπης. — 18. χάριτος. ἐνάλλοις πάσιν. — 19. οὔτως.

Ὅμως ἂν ἴδῃς τὴν γραφὴν καὶ τὰ τοῦ στίχου μάθῃς,
ἔργοις γνωρίσῃς ἔρωτος γλυκοπικρὰς ὀδύνας·
τοῦτο γὰρ φύσις ἔρωτος, τὸ σύμμικτα | γλυκαίνειν. (F. 1, b.)
Ἀλλ' ἐπὶ τὸ προκείμενον ὁ λόγος ἀνακτέος.

Ἀρχὴ τῆς ὑποθέσεως λοιπὸν καὶ τῶν ἐνταῦθα.

Βάρβαρος γάρ τις βασιλεύς, δυνάστης ἐπηρμένος,
πολλῶν χρημάτων ἀρχηγός, πολλῶν χωρῶν αὐθέντης,
τὴν ἔπαρσιν ἀβάσταγος, ἀγέρωχος τὸ σχῆμα,
τρεῖς παῖδας ἔσχεν εὐειδεῖς, ἠγαπημένους πλεῖστα,
εἰς κάλλος καὶ εἰς σύνθεσιν ἐρωτοφορουμένους
καὶ τἄλλα πάντα θαυμαστούς, γενναίους εἰς ἀνδρείαν·
οὓς βλέπων ἴσους ὁ πατὴρ εἰς τὴν εὐαρμοστίαν,
εἰς κάλλος, εἰς ἀνανδρομὴν καὶ πᾶσαν εὐανδρίαν,
ἐπ' ἴσης εἶχεν πρὸς αὐτοὺς τὴν πατρικὴν ἀγάπην.
Τὸν πρῶτον ἤθελεν ἰδεῖν τοῦ στέφους κληρονόμον,
τὸν δ' ἄλλον πάλιν ἤθελεν συγκληρονόμον τούτου
καὶ πρὸς τὸν τρίτον τὴν ἀρχὴν τῆς αὐτοκρατορίας
μεταγαγεῖν ἐπείγετο μετὰ πολλοῦ τοῦ πόθου.
Πάντας ἀξίους ἔκρινεν τοῦ στέφους καὶ τοῦ κράτους,
— ἕτερον γὰρ οὐκ ἤθελεν προκρίνειν τοῦ ἑτέρου· —
πρὸς πάντας δὲ μεταγαγεῖν τὴν αὐτοκρατορίαν
ὡς ταραχῶδες καὶ πολλὴν εἰσάγον τρικυμίαν
οὐκ εἶδεν ἐνδεχόμενον, οὐκ ἔκρινε συμφέρον.
Κάθεται οὖν βασιλικῶς, κράζει λοιπὸν τοὺς παῖδας
καὶ ταῦτα λέγει πρὸς αὐτοὺς μετὰ μεγάλου | σπλάγχνους· (F. 2, a.)

20. εἴδης. — 21. γνωρήσης. γλυκοπηκρας. — 22. τούτο. τοσύμμκτα γλυκένειν. — 23. ὁ. ἀνακταίων. — 24. ὑποθ. — 25. δυναστὴς. — 27. ἀβάναγος αγέροχος. σχήμα. — 28. παίδας. εὐηδεὶς ἡγαπιμένους πλήστα. — 29. κάλος. ερωτ. — 30. τάλλα. γεναίους. — 32. κάλος. πάσαν. — 33. ἐπίσης εἶχεν. — 34. πρώτον εἴθελεν. — 35. δε. συνκληρονόμον. — 37. μεταπολοῦ. — 38. ἀξήους ἔκρηνεν. — 39. ἕτερον. ήθελεν. ἑτέρου. — 40. προςπ. — 41. ταραχώδες. πολὺν εἰσάγων. — 42. εἶδεν. έκρινες μὴ φέρων. — 43. παίδας. — 44. ταύτα. μεταμ.

« Τέκνα, ψυχῆς μου κόσμημα καὶ τῶν σαρκῶν μου μέλη,
ἐγὼ τὸ στέμμα, τὴν ἀρχήν, τὴν δόξαν καὶ τὸ κράτος
μεταβιβάσαι πρὸς ὑμᾶς καὶ μεταστρέψαι θέλω,
ἀλλ' ἕν' τὸ φίλτρον εἰς τοὺς τρεῖς, ἴσον τὸ σπλάγχνος ὅλων,
καὶ τίναν προτερήσωμαι, τίναν καὶ κρίνω πρῶτον
οὐκ οἶδα, καὶ τοῦ στέμματος τίναν δεσπότην θέσω·
πρὸς πάντας δὲ μεταγαγεῖν τὴν αὐτοκρατορίαν
οὐ θέλω, θέλων ἄμαχον τὸ στέφος καὶ τὸ κράτος
ἔσεσθαι, μένειν τοῦ λοιποῦ καὶ τοῦ παρέκει χρόνου.
Τὸ γὰρ ἐπίκοινον καλὸν καὶ ταραχὴν εἰσάγει·
ὡς γὰρ οὐκ ἔχει τὸ κοινὸν ἐπὶ τοῦ πόθου χώραν,
οὕτως οὐδ' ἐπὶ τῆς ἀρχῆς τὴν αὐτοκρατορίαν.
Ἰδοὺ καὶ χρήματα πολλά, στρατηγικαὶ δυνάμεις
καὶ τἄλλα τὰ φερόμενα πρὸς τὰς ἀνδραγαθίας
καὶ θησαυροὶ καὶ πράγματα καὶ πλῆθος τοῦ φουσσάτου·
πορεύεστε, κινήσατε μετὰ πολλῶν χρημάτων
καὶ τἄλλα ὅσα θέλετε τὰ πρὸς ὑπηρεσίαν.
Ὅστις πολλὴν ἐνδείξηται στρατηγικὴν ἀνδρείαν
καὶ δύναμιν καὶ σύνεσιν καὶ φρόνησιν ἀξίαν
καὶ πρᾶξιν ἐπιδείξηται τὴν βασιλικωτάτην
καὶ σταίσῃ μέγα τρόπαιον ἐξ ἀνδραγαθημάτων,
ἐκεῖνον δώσω τὴν ἀρχὴν τῆς αὐτοκρατορίας
καὶ στέψω τοῦτον, ἀντ' ἐμοῦ ποιήσω | βασιλέαν. » (F. 2, b.)
Οὐδεὶς ἀποδυσπέτησεν πρὸς τοῦ πατρὸς τοὺς λόγους,
πρὸς τοῦ πατρὸς τοὺς ὁρισμοὺς καὶ τὰς παραγγελίας·
ἀλλὰ μετὰ γλυκύτητος, μετὰ πολλῆς ἀγάπης,

45. μέλει. — 46. στέμα. — 48. ἕν. ὅλον. — 49. πρώτον. — 50. οἶδα. στέματος. — 51. προσπ. αὐτοκρατωρίαν. — 53. χρώνου. — 54. καλλόν. — 55. έχει. — 56. οὐδὲ ἐπι. — 57. ἰδοῦ. στρατιγηκαὶ. — 58. τάλλα ταφερώμενα. ἀνδραγαθήας. — 59. πλήθος. φουσάτου (toujours). — 60. πορευεστε. μεταπολῶν. — 61. τάλλα ὅσα. προςὑπ. — 62. πολὺν ἐνδίξηται στρατιγηκὴν. — 63. σύνθεσιν. φρόνισην. — 64. πράξιν ἐπιδείξατε. — 65. στέσει. τρόπεον. — 66. ἐκείνον δόσω. — 67. τούτον ἀντεμοῦ. — 68. ἀποδυσπέτισεν. τοὺ. — 69. ὀρισμοὺς. — 70. μεταγλυκήτιτος μεταπολῆς.

μετὰ καλοῦ θελήματος, μετὰ καλῆς καρδίας,
μετὰ πολλῶν παραταγῶν, μετὰ πολλοῦ φουσσάτου,
μετὰ πολλῆς κατασκευῆς, μετὰ πολλῶν ἁρμάτων
ἀπεχαιρέτησαν εὐθὺς, κοινῶς οἱ τρεῖς κινοῦσιν.

Καὶ πρὸς τὴν ἔξοδον λοιπὸν οἱ τρεῖς μετακινοῦσιν.

Παρῆλθον τόπους ἱκανοὺς, πολλοὺς καὶ δυσβατώδεις
καὶ τέλος, ἵνα τὰ πολλὰ τοῦ στίχου παραδράμω,
κατήντησαν, ἐφθάσασιν εἰς ἐρημοτοπίαν,
εἰς ἀνεπίβατον βουνὸν, εἰς ὀρεινὸν κρημνώδη.
Ἦν ὁ βουνὸς ὑπερνεφὴς, ἀνάβασιν οὐκ εἶχεν,
σκληρὸς, λιθώδης, σκοτεινὸς, ἄγριος, φόβον ἔχων.
Εὐθὺς ζητοῦσι τὴν βουλὴν τί πράξουν, τί ποιήσουν.
Ὁ πρῶτος εἶπεν· « ὁ βουνὸς ἀνάβασιν οὐκ ἔχει·
πολὺ γὰρ τοῦτο τοῦ βουνοῦ τὸ ὕψος ἀναβαίνει·
ἂν εἴποις καὶ πρὸς οὐρανὸν ἡ κορυφή του φθάνει
καὶ τὰ δενδρὰ προσφέρουσιν εἰς οὐρανὸν τοὺς κλῶνους.
Μεταχωρήσωμεν λοιπὸν ἀπὸ τοῦ τόπου τούτου·
εἰς ἄλλον τόπον ὁμαλὸν κινήσωμεν, ἐπᾶμεν. »
Τοῦτον τὸν λόγον παρευθὺς ὁ δεύτερος ἀκούσας
εἶπε· « συντρέχω τὴν βουλήν· μεταχωρῶ τοῦ τόπου.
Τίς γὰρ βουνὸν ὑπέρνεφον, πετρολιθώδη | τόπον, (F. 3, a.)
ὄρος ἀνεπιχώρητον, οὐρανομήκη δένδρα
μετὰ φουσσάτου καὶ πολλῶν ἰδοὺ τῶν φορτωμάτων,
μετὰ πολλῆς παράταξις, καμήλων ἀμετρήτων,

71. μεταχ. μεταχ. — 72. μεταπολῶν. μεταπολοῦ. — 73. μεταπολῆς. μεταπολῶν. — 74. οἱ. κινούσιν. — 75. οἱ τρεὶς μετακινούσιν. — 76. παρήλθεν. ἱκανοὺς πολοὺς. δυσβατώδης. — 77. ἵνα. — 78. εὐθάσασίν. ἐριμοτοπίαν. — 79. ανεπίβ. ὀρινὸν κριμνόδη. — 80. ὑπερνεφὴς. εἶχεν. — 81. ληθόδης σκοτινὸς. — 82. ζητώσι. — 83. πρώτος εἶπεν. ανάβασην. — 84. τούτο. τοὔψος ἀναβένει. — 85. αν εἴπης. προς. κοριφή. — 86. τα. — 87. μεταχωρίσωμεν. — 88. χηνείσωμεν ἐπάμεν. — 89. τούτον. — 90. εἶπε. μεταχορῶ. — 91. ὑπερνεφων πετρωληθώδη. — 92. ἀνεπιχώριτον οὐρανομήκει. — 93. μεταφωσάτου. ἰδοῦ. φορτομάτων. — 94. μετα-

ἀνέβη τόσον ὕψωμα καὶ τηλικοῦτον ὄρος;
Εἰ γὰρ ἐγγύσε τοῦ βουνοῦ, τοῦ τηλικούτου τόπου
ἦσαν οἰκοῦντες ἄνθρωποι, πάντως τὰ ξύλα ταῦτα
εἶχόν τινα κατάλυσιν, τινὰ καινοτομίαν·
ἢ κἂν ἰχνάριν κυνηγοῦ ποσῶς νὰ ἐγνωρίσῃς.
Πλὴν ὁ βουνὸς ἐρήμωσιν τὴν ἐξ ἀνθρώπων ἔχει. »
Ὁ τρίτος εἶπεν· « ἄνανδρον κρίνω τὸ πρᾶγμα τοῦτο·
κἂν εἴ τι πάθω, κἂν αὐτὸν ἴδω τὸν θάνατόν μου,
οὐ δειλανδρήσω πρὸς βουνόν, οὐ φοβηθῶ τὸν τόπον.
Εἰ γὰρ νικήσει με βουνός, τρέψει με μόνον τόπος,
πῶς ἀντιπαρατάξομαι καὶ πῶς ἀνδραγαθήσω
Καὶ τοῦ πατρὸς τοὺς ὀφθαλμοὺς τοῦ φοβεροῦ ἐκείνου
πῶς ἀτενίσω, πῶς ἰδῶ καὶ πῶς ἐνατενίσω;
καὶ τοῦ πατρὸς τὸν ὁρισμόν, τὴν συμβουλὴν ἐκείνου,
τὴν συμβουλὴν τὴν εὔλογον λοιπὸν ἀπελαθόμην,
καὶ κλῆρον, τὸ βασίλειον τὸ πατρικὸν ἐκεῖνο,
βουνὸς καὶ φύσις ἄψυχος ἀπῆρέ με, στερεῖ με;
Ὦ πάτερ, πάτερ βασιλεῦ, παῖδας ἀνάνδρους ἔχεις,
ἂν πρὸ πολέμου τρέπονται καὶ φεύγουσι πρὸ μάχης.
Μετάθες οὖν πρὸς ἕτερον τὴν αὐτοκρατορίαν,
εἰς ἄλλον, μὴ τοῦ γένους σου μηδὲ | τῶν σῶν αἱμάτων, (F. 3, b.)
εἰς ἄλλον, ξένον ἄνθρωπον, ὅμως ἀνδρώδη φύσει,
ἡμᾶς δ' ἐξάφες, βασιλεῦ, μηδ' ὀνομάσῃς παῖδας.
Ἡμεῖς γάρ, ὡς ἐφάνημεν ἀπὸ τῶν ἔργων τούτων,
γυναίων φύσιν ἔχομεν, φοβούμεθεν τὰ ξύλα.
Αἰσχύνομαι τοὺς στρατηγοὺς καὶ τοῦ στρατοῦ τὸ πλῆθος,

πολῆς παράταξης καμίλων ἀμετρίτων. — 95. ἀνέβει. ὕψωμα. τιληκούτον. — 96. ἐγγὺς ὁτοῦ. Bk. τιληκούτου. — 97. οἰκούντες. ταξῆλα ταύτα. — 98. εἶχον τηνὰ. κενοτομίαν. — 99. ἠχνάριν. ἐγνωρήσης. — 100. πολὺν ἐριμοσην ὁ β. — 101. τούτο. — 102. εἴδω. — 103. δηλανδρήσω προςβουνὸν. φωβηθῶ. — 104. τρίψει. — 108. ὁρισμὸν. — 109. τὸν σύλογον. Bk. λοιπῶν. — 110. κλήρον. βασίλιον. ἐκείνο. — 111. ἀπήρε.στερή. — 112. ὦ. παίδας. ἔχης. — 113. προπολέμου. προμάχης. — 114. ἕτερον. — 115. γένου σου. αἱμάτων. — 116. φίσει. — 117. ἡμὰς. μηδονομάσης παίδας. — 118. ἐφάνιμεν. — 119. φωβούμεθεν ταξύλα. — 120. αἰσχήνομαι. στρα-

αἰσχύνομαι πρὸ τοῦ στρατοῦ τὴν πατρικὴν ἀνδρείαν.
Καὶ σὺ δὲ, πάτερ βασιλεῦ, φυγάδας πάντας βλέπων,
οὐκ οἶδα πόθεν φεύγοντας, τρεμμένους, ἡττημένους,
τίναν καὶ δώσῃς τὴν ἀρχὴν, τίναν καὶ στέψῃς πρῶτον;
Ἐγὼ, κἂν εἴ τι γένηται, μετὰ δειλῆς καρδίας
οὐκ ἴδω τὸν πατέρα μου, τὸ γένος οὐκ αἰσχύνω,
οὐδ' ἀπολέσω σήμερον τὴν αὐτοκρατορίαν
ἐξ ἀνάνδρου θελήματος, ἀπὸ δειλῆς καρδίας.
Ἀλλ' ἂν στολαὶ, παραταγαὶ καὶ πλῆθος τοῦ φουσσάτου
καὶ τἄλλα τὰ πολυτελῆ καὶ τῶν χρημάτων βάρη
ἀναδραμεῖν οὐ δύνανται τὴν δυσκολοτοπίαν
καὶ τοῦ βουνοῦ τὸ δυσχερὲς, τὴν συμμικτοδενδρίαν,
φουσσάτον μὲν καὶ στρατηγοὶ, κάμηλοι, ζεύγη, σκεύη
καὶ τἄλλα πάντα σήμερον ἂς ἔχουν καταστόλιν,
ἡμεῖς δὲ μόνοι μετ' αὐτῶν ὧν ἔχομεν ἀρμάτων
καὶ μετὰ τῶν ἀλόγων μας καὶ τῶν συρτῶν μας μόνον
ὡς ἄνδρες ἀναδράμωμεν ὀρεινοπετροβούνιν. »

| Τοῦ τρίτου πάντες ἔκριναν τοὺς λόγους προτεροῦντας. (F.4,a.)

Οἱ πρῶτοι γοῦν τῶν ἀδελφῶν πρὸς τοὺς τοῦ τρίτου λόγους
ἠσχύνθησαν, ἡττήθησαν, εἶπον · « γενέσθω τοῦτο. »
Εὐθὺς ἡ πᾶσα δύναμις καὶ τὸ τοσοῦτον πλῆθος
καὶ τἄλλα τὰ φερόμενα τὰ πρὸς ὑπηρεσίαν
καὶ θησαυροὶ καὶ φύλακες καὶ πλῆθος τοῦ φουσσάτου
ἐφόρτωσαν, ἐκίνησαν, ἐστράφησαν ὀπίσω.

τιγοὺς. πλήθος.— 121. προτοῦ.— 123. τρεμένους ἡτημένους.— 124. πρώτον. — 125. μεταδηλῆς. — 126. οὐκ οἴδω. εσχήνω. — 127. οὐδαπολέσω. — 128. ἐξάνανδρου. ἀποδηλῆς. — 129. ἀλλὰ στολὰς. παραταγὰς. πλήθος. — 130. τάλλα. πολλυτελοὶ. βάρει. — 131. αναδραμὴν. — 132. συμμηκτοδενδρύαν. — 133. στρατιγοὶ. ζεύγοι. σκευει. — 134. τάλλα. ἀς. — 135. μεταυτῶν. — 136. μετατῶν. — 137. ὄρινοπετροβούνην. — 138. τοῦ λόγου προτερούντες. — 139. πρώτοι. λογους. — 140. ἡττήθησαν εἶπον. — 141. πάσα. πλήθος. — 142. τάλλα. ταπρος ὑπηρεσίαν. — 143. πλήθος. — 144. ἐφόρτοσαν ἐκήνισαν.

Ἀνέτρεχον, ἀνέβαινον ἐφ' ἱκανὰς τὰς ὥρας·
καὶ μόλις εἰς τὴν κορυφὴν ἀνέβησαν ἐπάνω
— μετὰ καιροῦ παραδρομὴν ὡσεί που τριμηναίου
οἱ τρεῖς ὁμοῦ τὴν κορυφὴν κατέλαβον τοῦ ὄρους —
καὶ τόπον εὗρον εὔνοστον καὶ κεχαριτωμένον,
λιβάδιν ἄλλης χάριτος, παράξενον ὀκάτι
καὶ κρυσταλλώδην ποταμὸν πρὸς τὸ λιβάδιν μέσον,
ῥόδα καὶ κρίνα σύμμικτα κάτωθεν ἐστρωμένα,
ἄνθη φυτῶν παντοδαπῶν ὅσα ψυχὴν ἁρπάζει.
Ἐπέζευσαν, ἐκάθησαν, ἀνέσαναν ὀλίγον,
τοὺς ἵππους ἀπεστρώσασιν εἰς τὸ λιβάδιν μέσα,
ἐθαύμασαν τὴν ἡδονὴν τοῦ τόπου καὶ τὴν χάριν,
ἐκ τὸ νερὸν ἐνίψαντο. Πάλιν ὁ τρίτος λέγει·

Λόγοι καὶ πάλιν συμβουλῆς τοῦ τρίτου πρὸς τοὺς ἄλλους
τοὺς πρωτεινοὺς τοὺς ἀδελφοὺς αὐτοῦ τοῦ Καλλιμάχου.

« Μὴ μέχρι τούτου στήσωμεν τὸν κόπον καὶ τὸν δρόμον·
τί γὰρ πρὸς τὸ παράγγελμα τὸ πατρικό μας τοῦτο
| καὶ τί πρὸς ἀνδραγάθημα ἐτοῦτο τὸ λιβάδιν (F. 4, b.)
καὶ βλέπειν ἄνθη καὶ φυτά, ῥόδα τε καὶ τὰ κρίνα;
Πρὸς ὁρισμοὺς καὶ συμβουλὰς καὶ πατρικὰς θελήσεις
καὶ πρὸς ἐλπίδα στέμματος τοῦ βασιλικωτάτου
οὐ συντελοῦσι χάριτες οὐδὲ τερπνότης τόπων. »
Πρὸς ταύτην οὖν τὴν συμβουλὴν καὶ πρὸς τοὺς λόγους τούτου
ἀφίνουσιν τὰς χάριτας ὅσας ὁ τόπος εἶχεν
καὶ πάλιν ἁρματόνουνται καὶ πάλιν ὑπαγαίνουν·

145. ἀνέβενον ἐφικανάς. ὤρας. — 147. μετακεροῦ. ὡς εἶπον τριμηναίον. — 148. τρὶς. κοριφὴν. τοὺς. — 149. εὗρον. — 150. ληβάδην. — 151. κρισταλώδην. λυβάδην. — 152. σύμμηκτα. — 153. φητῶν. ὅσα. ἁρπάζη. — 155. ἵππους. λιβάδην. — 156. ἡδονὴν. — 159. πρωτινοὺς. — 160. στήσομαι. — 161. τοπατρικό. τούτο. — 162. ἐτούτο. λυβάδην. — 163. βλέπει ἄνθει. φοιτὰ. ταχρίνα. — 164. ὁρισμοὺς. — 165. στέματος. — 166. χάριτας. — 168. ὅσας ὁ. εἶχεν. — 169. ὑπαγένουν.

καὶ μετὰ στράταν ἱκανὴν ἄρχει (;) κρημνώδης τόπος
εἰς δν οὐδόλως ἄνθρωπος ὑπέφανεν ποτέ του,
ἀλλ' οὐδὲ θὴρ οὐδὲ πτηνὸν οὐδὲ κνωδάλου φύσις·
καὶ μετὰ τὴν παραδρομὴν καὶ τοῦ τοσούτου τόπου
εἰς κάστρον κατηντήσασιν μέγα, φρικτὸν καὶ ξένον.
Οἱ τρεῖς ὁμοῦ κατήντησαν, ἔφθασαν εἰς τὸ κάστρον,
αὐτὸ τὸ δρακοντόκαστρον τὸ φοβερὸν καὶ μέγα.

Ἔκφρασις πανεξαίρετος, τοῦ δράκοντος τὸ κάστρον.

Τὸ τεῖχος ἦτον ὑψηλόν, ὁλόχρυσον ἀπέξω,
καὶ τοῦ χρυσοῦ τὸ καθαρόν, τὸ στίλβον τὸ τοῦ κάλλους
ἐνίκα πάσας ἐκ παντὸς ἡλιακὰς ἀκτῖνας·
τὸ δέ γε σφυρηλάτημα τῶν ἀκροπυργωμάτων
ἀπὸ συμμίκτου καὶ χρυσοῦ καὶ λίθων καὶ μαργάρων.
Οὕτως τὸ κάστρον πάντερπνον. Αἱ δὲ τοῦ κάστρου πύλαι
μέγα τι πρᾶγμα καὶ φρικτὸν καὶ κάλλος μετὰ φόβου·
χρυσὸς καὶ λιθομάργαροι, | πλὴν τῶν προτιμητέων, (F.5,a.)
τῶν πολυτίμων, τῶν καλῶν καὶ τῶν ἐνδοξοτέρων,
καὶ τάξιν ἐπαρμόζουσιν πρὸς εἶδος ἐξομπλίου.
Ἀλλ' οὐχ ἁπλῶς καὶ τυχερῶς εἶχον τὴν ἁρμονίαν·
καὶ ζῶντες ὄφεις εἰς αὐτὰς τὰς κεκλεισμένας πύλας,
ὄφεις μεγάλοι, φοβεροὶ καὶ θῆρες παρὰ φύσιν
ἄγρυπνοι φύλακες ὀξεῖς τοῦ τηλικούτου κάστρου
ὁρμῶσι, δράκοντες φρικτοὶ καὶ πυλωροὶ θηρία,
ἅ τις ἰδὼν ἀ[πέ]θανεν ἀπὸ τ[οῦ] φόβου μόνου.

170. μετα. ἱκανὴν οὐχὴ κριμνόδη τόπον. — 171. εἰπέφανεν. — 172. ἀλλοὐδεθὺρ οὐδεπτυνὸν οὐδεκνοδάλουφύσιν. — 174. κατιντήσασιν.— 175. κατίντησαν. — 178. τείχος εἶτον ὑψυλον ὁλόχρησον — 179. τοτοῦ κάλους. — 180. εκπαντὸς ἡλιακὰς ἀκτίνας. — 181. σφερολάττομα. ἀκροπυργομάτων. — 182. ἀποσυμμίκτου. Faut-il changer en λυχνίτου? — 183. οὔτως. αἱ. — 184. τὶ πράγμα. φρυκτὸν. κάλος μεταφόβου. — 185. προτίμηταίων. — 187. προσῦδος ἐξομπλήου. — 188. οὐχαπλῶς. ἁρμονίαν. — 189. ζώντες ὤφεις. κεκλισμένας. — 190. θήρες. — 191. ἄγρυπνοι. τοιλικούτου. — 192. ὀρτώσοι δράκωντες. πυλοροὶ. — 193. τὶς εἰδὼν. Le vers

Τοῦ κάστρου τὴν λαμπρότηταν καὶ τῶν πυργοδωμάτων
ὡς εἶδον, ἐξεπλάγησαν, ἐθαύμασαν ἐκεῖνοι·
εἶδον χρυσοῦ λαμπρότητα καὶ λίθων καὶ μαργάρων
καὶ πᾶσαν ἄλλην καλλονὴν ὅσην τὸ κάστρον εἶχεν.
Ἀλλ' ἦν τὸ τεῖχος ὑψηλόν, εἰσέλευσιν οὐχ εἶχεν·
ἄνθρωπος οὐ παρέτρεχεν, οὐδὲ θηρίου φύσις,
οὐδὲ πτηνόν, οὐδὲ στρουθός· ἄγριος ἦν ὁ τόπος.
Ἀνέτρεχον, παρέτρεχον, τὴν εἴσοδον ἐζήτουν·
εἶχεν γὰρ πύργους ὑψηλούς, οὐρανομήκεις τοίχους.
Εὗρον τὰς πόρτας τὰς λαμπρὰς τούτου, τὰς πολυτίμους,
εἶδον τοὺς ὄφεις, ἔφριξαν τοὺς πυλωροὺς ἐκείνους.
Οὐκ ἔγνωσαν τὴν φοβερὰν καὶ θαυμασίαν πόλιν,
τίνος τὸ κάστρον τὸ λαμπρόν, τίνα δεσπότην ἔχει.
Οἱ μὲν γὰρ ἐπεστράφησαν, ἐστάλησαν ὀπίσω,
τάχα μὴ γένωνται τροφὴ τῶν πυλωρῶν ἐκείνων,
εἶδαν, ἐξεθαββήθησαν, ἐτράπησαν, ἐφύγαν.

| Στάσις καὶ λόγος καὶ βουλή, πρὸς τὴν βουλὴν καὶ πρᾶξιν (F. 5, b.)
ὁμοῦ τριῶν τῶν ἀδελφῶν, αὐτοῦ τοῦ Καλλιμάχου.

Ὁ πρῶτος εἶπεν· « ἐκ παντὸς ἰδοὺ τὸ κάστρον τοῦτο
ἄμαχον, ἀνυπόστατον, ἀδούλωτον καθόλου·
τίς καταστήσει πόλεμον καὶ τίς κινήσει μάχην
καὶ τίς συστήσει ταραχὴν μετὰ θηρίων φύσιν;
Βλέπω παντὸς ἀπὸ χρυσοῦ τὸ κάστρον μὲ μαργάρων
καὶ λίθων πολυτέλειαν πολλῶν συσκευασμένον,

est écrit dans la marge et coupé par le relieur; les lettres notées entre deux crochets manquent. — 194. πυργοδομάτων. — 195. εἶδον. ἐκείνοι. — 196. εἶδον. λύθων. — 197. πάσαν ἄλην καλωνὴν. εἶχεν. — 198. τοτύχος υψυλὸν. εἶχεν. — 199. θυρίου. — 200. πτηνῶν. ἄγρὸς. — 201. ἴσοδον. — 202. εἶχεν. ὑψυλοὺς. τύχους. — 203. εὗρον. — 204. εἶδον. πυλορούς. — 205. ουκέγνοσαν. — 208. γένονται. πυλορῶν. — 209. εἶδαν ἐξεθαυβήθησαν. — 210. πράξιν. — 212. πρώτος. τούτο. — 213. ἀδούλοτον. — 214. καταστίσει. χηνίσει. — 215. μεταθυρίων. — 216. μεμαργάρων. — 217. συσκευασμένων.

ὄφεις μεγάλοι καὶ φρικτοὶ καὶ παρὰ φύσιν πρᾶγμα
ἄγρυπνοι νὰ φυλάσσουσιν τὸ κάστρον καὶ προσέχουν,
καί, συνεικάζων κατὰ νοῦν, ἁπάντων τούτων ἔνι
ἄρχων, αὐθέντης, βασιλεὺς ἀνθρωποφάγος δράκων.
Βλέπετε καὶ σκοπήσετε, στρέψετε κατὰ νοῦ σας,
μὴ νικηθῶμεν τῷ χρυσῷ καὶ τοῖς μαργάροις τούτοις.
Ἂν γοῦν θελήσωμεν χρυσοῦ καὶ λίθων καὶ μαργάρων,
καὶ τὰς ψυχὰς ἀφήσομεν ἀντὶ λιθομαργάρων.
Λοιπὸν ἀναχωρήσωμεν ἐν βαδισμῷ γενναίῳ (;). »
Πρὸς ταύτην τοίνυν τὴν βουλήν, τὸν λόγον τὸν τοῦ πρώτου,
ὁ δεύτερος ἐλάλησεν· « φύγω κἀγὼ τοὺς ὄφεις·
πόλεμον γὰρ μετὰ θηρῶν χωρὶς ἀνάγκης μάχης
ὁ φρόνιμος ὁ στρατηγὸς ἀπαγορεύειν ἤδη (;). »

Βουλὴ τοῦ τρίτου σταθηρά, ὅρμημα παρὰ φύσιν.

Ὁ τρίτος πρὸς τὴν συμβουλὴν τοῦ πρώτου καὶ δευτέρου
| οὐ πείθεται τοῖς ἀδελφοῖς, δειλὸν τὸ πρᾶγμα κρίνει (F. 6, a.)
καὶ λέγει· « κἂν τὸν θάνατον τοῖς ὀφθαλμοῖς μου βλέπω,
κἂν πρόδηλος ὁ κίνδυνος, κἂν φανερὸς ὁ Χάρων,
. . . .
κάστρου τοσαύτην καλλονήν, κάστρου τοσαύτην χάριν,
λίθους, μαργάρους καὶ χρυσόν, αὐγὴν λυχνίτου τόσην.
Αν γὰρ τὸ τεῖχος ἔξωθεν ἔχῃ τοσαύτην χάριν,
τὰς ἔνδον πάλιν τίνος νοῦς χάριτας οὐ θαυμάσει;
Λοιπόν, κἂν εἴ τί με συμβῇ, κἂν εἴ τι πρόκειταί μοι,
ζητήσω τὴν εἰσέλευσιν, ἴδω τὴν ἔσω χάριν.

218. παραφήσην πράγμα. — 219. ναφυλάσουσιν. — 220. συνηκάζων. ἀπάντων. ἔνει. — 222. στρέψεται κατανοῦ — 223. χρησῶ. — 224. θελήσομεν. λύθων. — 225. ἀφήσωμεν. λιθωμαργάρων. — 226. ἀναχωρίσωμεν. τοῖς νέοις. — 227. προς. — 229. πόλεμος. — 230. καὶ ὁ νόμος καὶ ὁ στρατιγὸς. ἤδη. — 231. ὥρμημα παραφίσην. — 233. πράγμα. — 235. κύνδηνος. — 236. κάστρον. καλωνήν. — 237. αὐτὴν λιχνίτω. — 238. ἐάν. τείχος ἔξοθεν ἔχει. χάρην. — 239. τοῖς. χάριτος. — 240. λειπὸν. τι.

Τοίνυν ὑπάγετε καλῶς καὶ καρτερήσω μόνος,
τοὺς πόνους μόνος ὑποστῶ, τὰς ἡδονὰς τρυγήσω·
εἰ δὲ συμβῇ με κίνδυνος, περίστασιν εὑρήσω
τὴν ἴσως με τύχῃ παθεῖν, ὅσα πολλοῖς συμβαίνει,
ἀντιμεταστραφήσονται καὶ μεταγυρισθῶσιν
τῶν φερομένων παρ' ἡμῶν ἐπιβημάτων φύσεις. »

Λόγοι θλιβεροκάρδιοι τοῦ πρώτου πρὸς τὸν τρίτον.

Ὁ πρῶτος δὲ τῶν ἀδελφῶν πάλιν τὸν τρίτον λέγει·
« Ἐπεὶ τὸ μοιρογράφημα καὶ τὸν τροχὸν τῆς τύχης
οὐδεὶς ἀπέφυγέν ποτε, κἂν καὶ πολλὰ μοχθήσῃ,
ἰδοὺ καὶ σὲ τὸ τρόχωμαν τῆς τύχης περιφέρει
καὶ καταβάζει πρὸς αὐτὰς τὰς τοῦ θανάτου πύλας.
Τί γάρ; Τοσοῦτον κίνδυνον ἐκὼν ἀναλαμβάνων
καὶ παρὰ φύσιν πόλεμον καὶ παρὰ φύσιν μάχην,
ἂν οὐ νικήσῃς καὶ τραπῇς, | λοιπὸν ἐθανατώθης. (F. 6, b.)
Εἰ δ' οὐ τραπῇς, εἰ δ' οὐ τυθῇς, ἀλλ' ἴσως καὶ νικήσῃς,
ἄδηλον ἔχεις τὸ καλόν, ἀμάρτυρον τὴν τύχην. »

Ἀποχαρίζεται λοιπὸν ὁ πρῶτος πρὸς τὸν τρίτον
τὸ δακτυλίδιν τὸ χρυσόν, ὃ παρὰ φύσιν εἶχεν.

« Εἰς δὲ μικρὸν ἀνασασμόν, εἰς παρηγόρημά σου
ἰδοὺ τὸ δακτυλίδιν μου τοῦτο χαρίζομαί σοι·
ἂν εἰς ἀνάγκην, μνήσθητι καὶ παρηγορηθήσῃ.
Ἂν γὰρ εἰς μέσον στόμα σου τὸ δακτυλίδιν βάλῃς,

242. τοίνοιν ὑπάγεται. καρτερίσω. — 243. ἠδονὰς. — 244. συμβή. εὑρίσω. — 245. την ἴσως. τύχει. — 248. θληβεροκάρδιοι. — 249. ὁ πρώτος. — 251. ἀπέφυγεν ποτὲ. μοχθήσει. — 252. τρόχομαν. — 254. τοσούτον κύνδηνον ἐκὼν. — 255. παραφύσιν (bis). — 256. νικήσεις. ἐθανατώθεις. — 257. τραπεὶς. τιθεὶς. νικήσεις. — 258. ἀμάρτιρον. τίχην. — 259. πρώτος. — 260. τοδακτιλήδην. παραφ. εἶχεν. — 262. ἰδοῦ. δακτιλήδην. τούτο. — 263. παριγορηθήσης. — 264. δακτιλήδην βάλεις.

ἐργάσεταί σε πτερωτὸν καὶ τοῦ κινδύνου φύγης. »
Εὐθὺς κατεφιλήθησαν, ἐθρήνησαν, ἐκλαῦσαν,
ξένονται καὶ τὰς παρειὰς καὶ τύπτουσιν τὰ στήθη
καὶ τέλος ἀποχαιρετοῦν, ἀφίνουσιν τὸν τρίτον.

Ἀποχαιρέτημα πικρὸν, μόνωσις μετὰ πόνου
καὶ στέρησις ἀδελφικὴ καὶ πάθος οὐκ ὀλίγον.

Ὁ τρίτος οὖν, περίδραμὼν μόνος τοῦ κάστρου γῦρον,
τόπου μικρὰν ἀναψυχὴν εὑρὼν ὑψηλοτέραν
καὶ πήξας τὸ κοντάριν του, τινάσσεται γενναίως,

Ἔκφρασις πανεξαίρετος τοῦ κήπου καὶ τοῦ κάστρου
τὸν εἶδεν ὁ Καλλίμαχος ὅταν εἰσῆλθεν μέσα.

ὑπερπηδᾷ τὸ πύργωμαν μετὰ καλῆς ἀνδρείας
καὶ παρευθὺς εἰς τὴν αὐλὴν τοῦ κάστρου πίπτει μέσα
καὶ βλέπει τὰ παράδοξα, τὰ παρὰ φύσιν ὅλα,
τὰς ἡδονὰς, τὰς χάριτας, τὰς καλλονὰς, τὰς τέρψεις.
Ἅπαντα τίνος λογισμὸς καὶ νοῦς ἐξαριθμήσει
καὶ τίνος γλῶσσα | δυνηθῇ λαλῆσαι κατὰ μέρος; (F. 7, a.)
Εὐθὺς γὰρ ὡς ἐξ ἀπαρχῆς παράδεισος εὑρέθη
καρποὺς καὶ ὀπώρας, χάριτας, ἄνθη καὶ φύλλα γέμων,
ἀπὸ πνοῆς τὴν ἡδονὴν ὑπὲρ τὸν λόγον ἔχων,
ἐκ δὲ τῆς ὄψεως αὐτῆς μείζονα πάλιν χάριν.
Μόνον οὐκ εἶχεν κηπουρὸν ὁ τηλικοῦτος κῆπος

265. σοι. — 266. ἐκλαύσαν. — 267. παριὰς. στήθει. — 268. ἀποχερετοῦν. — 269. ἀποχαιρέτιμα. μόνοσις μεταπ. — 270. στέρισης. ολίγον. — 271. περὶ δραμὼν. γήρον. — 272. μηκρὰν. εὑρὼν ὑψηλωτέραν. — 273. κοντάρην. τεινάσεται γεναίως. — 274. παναιξέρετος. κοίπου. — 275. εἶδεν. εἰσῆλθεν. — 276. ὑπερπιδᾶ. πύργομαν. ἀνδρήας. — 277. παρευθῦς. — 278. παραφ. ὅλα. — 279. ἰδονὰς. καλονὰς. — 280. ἅπαντα. — 281. γλώσσα δυνηθεῖ. — 282. απαρχῆς παράδισος εὑρέθει. — 283. ἰπώρας. ἄνθει. φύλα. — 284. ἀπὸ τῶν λόγων. — 286. ἦχεν κυπουρὸν. τιληκούτος.

καὶ τὸ πολὺ τῆς ἡδονῆς ἐλαττωμένον εἶχε
ἐκ τοῦ μὴ φαίνεσθαί τινα παρὰ τοῦ κήπου τότε.
Ἀλλ' ἵνα τί πολυλογῶ τὰ περισσὰ τοῦ κήπου
καὶ τὰς τοσαύτας χάριτας κατὰ λεπτὸν μὴ γράψας;

Ἔκφρασις πανεξαίρετος καὶ τοῦ λουτροῦ τοῦ κάστρου.

Ἐντὸς τοῦ κήπου τοῦ καλοῦ καὶ τοῦ περιβολίου
λουτρὸν εὑρέθη πάντερπνον, ὅλον ὡραιωμένον,
ἐξαίρετον, πανθαύμαστον, χάριτας γεμισμένον.
Τί πρῶτον εἴπω τοῦ λουτροῦ, τί δὴ καὶ γράψω πρῶτον,
τὸ μῆκος, τὴν λαμπρότηταν, τὴν ἐκ τοῦ κάλλους χάριν
ἢ τὴν ὁλόφωτον αὐγὴν ἢ τῶν φυτῶν τὸ ξένον;
Ἀπέσω γὰρ παρέκυπτεν εἰς τοῦ λουτροῦ τὸ πλάτος
ἀνθῶν καὶ φύλλων καὶ φυτῶν εὐώδης παρὰ φύσιν·
ὁ γὰρ τεχνίτης τοῦ λουτροῦ μετὰ πολλῆς τῆς πείρας
θυρίδας ὑπετέχνωσε μετὰ τῶν σφαλισμάτων,
καὶ τῶν θυρίδων τεχνικῶς ἐξεπανοιγομένων
εὐθὺς ἐντὸς παρέκυπτον τὰ τῶν εὐόσμων φύλλα.
Ἀντὶ δὲ τῶν πολυτελῶν ὀρθομαρμαρωμάτων
εἶχεν καθίρπτας τὸ λουτρὸν καὶ τὰς ἁρμόσεις τούτων·
ἐκ μηχανῆς δέ, | τεχνικῶς καὶ ταύτης παραξένου, (F. 7, b.)
ὁ τοῦ λουτροῦ καὶ τοῦ θερμοῦ παχὺς ἀτμὸς νεφώδης
οὐκ ἐπεσκέπαζε ποσῶς ἐκείνους τοὺς καθίρπτας,
οὐδὲ τῶν λίθων ἤμβλυνε τὸ τηλαυγὲς ἐκείνων·
ἀλλ' εἶνε ὑπερνέφελος ἡ τοῦ καθίρπτου φύσις

287. ἰδονῆς ἐλαττομένον εἶχε. — 288. φένεσθαι τινά. — 289. ἀλλῖνα. περισά. κύπου. — 290. τὸ τὰς. καταλ. — 292. κύπου. περιβολήου. — 293. εὑρέθει. ὅλον ὡραιομένον. — 294. χάριτάς τε μισμένον. — 295. πρῶτον (bis). — 296. μήκος. λαμπρότιταν. κάλους. — 297. ὁλόφωτον. — 299. ἀνθῶν. Bk. φύλων. εὐώδη. Bk. παραφ. — 300. τεχνήτης. πολῆς. πύρας. — 301. ὑπετ. σφελτιμάτων. — 302. τεχνηκῶς ἐξεπανηγομένων. — 303. φύλα. — 304. ὀρθομαρμαρομάτων. — 305. εἶχεν καθύρπτας (toujours). ἁρμόσεις. — 306. τεχνηκῶς. — 308. οὐκεπεσκέπαζε. καθυρπτας. — 309. οὐδὲ. τυλαυγές. — 310. εἶναι ὑπερνέφελος.

καὶ νέφος οὐκ ἐσκέπαζεν τὴν τοῦ λυχνίτου χάριν.
Ἡνίκα γὰρ παρέκυψες ἐκ τοῦ λουτροῦ τὴν θύραν,
εἰς τὸν καθίρπτην ἔβλεπες καὶ τὸ λουτρὸν ἐθώρεις
καὶ δένδρων φύλλα καὶ καρπῶν καὶ περιβόλιν ὅλον
ἐδόκεις βλέπειν ἐκ παντὸς εἰς τοὺς καθίρπτας πάλιν.
Ὁ τροῦλλος ἦν ἀπὸ χρυσοῦ μετὰ λιθομαργάρων.
ὁ δὲ τεχνίτης τὸν χρυσὸν εἰς δένδρον μεταπλάττει,
ἀντὶ καρπῶν δὲ τεχνικῶς ἐνέθηκεν τοὺς λίθους.

Ἔκφρασις τοῦ κοσμίτου.

Ὁ δὲ κοσμίτης τοῦ λουτροῦ πλοκὴν ἐπλάκη ξένην·
θαυμάζω χεῖρας τεχνιτῶν καὶ τοῦ χρυσοῦ τὴν φύσιν
πῶς ὁ χρυσὸς ὡς ἄμπελος τῇ σμίλᾳ συνεπλάκη
καὶ ταῖς χερσὶ τῶν τεχνιτῶν ὑπεδουλώθη τόσον.
Ἂν γὰρ πολλάκις ὀφθαλμοὺς ἀπῆρας ἀποκεῖθεν,
εἶδες μεγάλην ἡδονήν, ἄλλο τι θαῦμα μέγα.
Ἔγεμε τὸ ῥοδόσταμμα, ἐδόκει κυματίζειν,
ἐκόχλαζεν, ἐκάπνιζεν καπνὸν ὀκάτι ξένον,
καπνὸν φρικτὸν δυνάμενον σαλεύειν τὴν καρδίαν.
Ἀπὸ διστόματος | χρυσοῦ καὶ κεφαλῆς ἀνθρώπου (F. 8, a.)
ἐκεῖνο τὸ ῥοδόσταμμαν φρικτῶς ἀποκενοῦτο.
Ἂν εἶδες ἐκ παντὸς εἰπεῖν ζῶντος ἀνθρώπου στόμα,
οὕτως καὶ τοῦτο τεχνικῶς ὁ χρυσοχὸς ἐκεῖνος
ἀπὸ χρυσοῦ μετέστησεν εἰς κεφαλὴν ἀνθρώπου.

311. οὐκεσκέπαζεν. λιχνίτου. — 312. ἠνίκα. παρέκηψεν. θήραν. — 313. ἔβλεπεν. ἐθώρει. — 314. φύλα. καρπον. περιβόλην ὅλον. — 315 ἐδόκης. — 316. τρούλος. μεταλυθομαργάρων. — 317. τεχνήτης. — 318. καρπόν. τεχνηκῶς. — Titre. κοσμήτου. — 319. κοσμήτης. ἐπλάκει. — 320. χήρας τὲχνητῶν. — 321. ὀ. τῆσμύλα συνεπλάκει. — 322. τεχνητῶν ὑπεδουλόθει. — 323. πολάκις. ἀπείρας ἀποκήθεν. — 324. οἶδας μεγάλην ἰδονὴν ἄλλό. θαύμα. — 325. ῥοδόσταμα. — 326. ἐμόχλαζεν ἐκάπνηζεν. ὀκάτι. — 328. ἀποδηστόματος. — 329. ἐκήνο. ῥοδόσταμαν. ἀποκενούτο. — 330. οἶδες. ζόντος. — 331. οὗτως. τεχνηκῶς. ἐκείνος. — 332. ἀπο-χρυσοῦ.

Ἔκφρασις τῶν θυρῶν.

Αἱ θύραι πάλιν τοῦ λουτροῦ σύγκραμα μέγα, ξένον·
ξύλον ὑγρὸν ἐκ τῆς Ἰνδῶν καὶ τῆς Ἀράβων χώρας
καὶ μόσχος ἅμα σύμμικτα μετὰ τοῦ ξύλου τούτου.
Καρδία γὰρ αἰσθητικὴ τὴν ἀπὸ τούτων χάριν
. . . .

Ἔκφρασις τοῦ βηλοθύρου.

Εἰς δὲ καὶ πάλιν τοῦ λουτροῦ τὴν ἐνδοτέραν θύραν
βηλόθυρον ἐκρέμετο πρὸς τὸ λουτρὸν ἁρμόζον.
Καὶ γὰρ ἦν τὸ βηλόθυρον κρίνων καὶ ῥόδων ἄνθη·
τῆς τέχνης τὸ παράξενον οὐ συνεχώρει βλέπειν.
Ἀλλὰ καὶ τί πολυλογῶ καὶ κατὰ μέρος γράφω;
Ἁπλῶς ἂν εἶδες τὸ λουτρόν, λιποθυμήσω, πέσω
καὶ ζήσω λιποθύμημα καὶ χάριν ἀνασάνω (;).
Ἐν τούτοις πᾶσιν ἄνθρωπος ποσῶς οὐδὲν εὑρέθη·
ὅθεν ἐκεῖνος ἀπορῶν τὴν ἐρημανθρωπίαν,
ἀναζητεῖν γὰρ ἤθελεν, ἰχνεύειν καὶ γυρεύειν
καὶ λέγειν καὶ διερευνᾶν ταῦτα κατὰ τὸν νοῦν του·
« πάντως ἐτοῦτο τὸ λουτρὸν οὐκ ἔνι δίχ' ἀνθρώπου. »

Ἔκφρασις τοῦ χαμινίου.

Εἰς τὸ χαμίνιν τὸ λοιπὸν ἐπῆγεν, ἀνεστάθην
καὶ χα | μινάριν τοῦ λουτροῦ γυρεύει νὰ ἐγνωρίσῃ. (F. 8, b.)

Titre. θηρῶν. — 333. αἱ. σύγκρουσμα. — 334. ὑγρὸν. — 335. μόσκον. σύμμυκτα. — 336. ἀποτούτων. — Titre. βιλοθήρου. — 338. βυλόθηρον. ἁρμόζων. — 339. βυλόθηρον. — 341. καταμέρος. — 342. ἁπλῶς. ἤδες τόλουτρον. λυποθημήσω. — 343. λυποθήμιμα. — 344. πάσιν. εὑρέθει. — 345. ἐκήνος. — 346. γυρευειν. — 347. ταύτα. — 348. ἐτούτο. ἔνει. δίχα — Titre. χαμηνίου. — 349. χαμίνην. ἐπήγεν. — 350. γυρευεινα ἐγνωρίσει

Ἐπῆγεν, ἀνεζήτησεν· ἄνθρωπον μὲν οὐκ εἶδεν,
τὸ δὲ χαμίνιν εὕρηκεν ἀνάπτον μοναχόν του
χωρίς τινος τοῦ συνεργοῦ, χωρίς τινος ἀνθρώπου
καὶ ξυλαλόην Ἰνδικὴν ἀντὶ τῶν ξύλων γέμον.

Ἔκφρασις τῆς τραπέζης.

Μετὰ τὸ κάλλος τοῦ λουτροῦ. . . . .
καὶ τἄλλα τὰ παράξενα καὶ τὰ θαυμάτων πλήρη,
εὑρέθη τραπέζα λαμπρά, λαμπρῶν βρωμάτων πλῆθος·
φιλότιμος ἡ τράπεζα, πολυτελεῖς οἱ μῖσσοι,
οὓς κατὰ μέρος ἐξελθεῖν οὐκ ἐξαρκέσει λόγος
πολλὰς τροφὰς ἐξαριθμεῖν καὶ πολυπλόκους μίσσους
καὶ παρατρέχειν ἡδονὰς καὶ χάριτας με γράφειν.
Ἡ τράπεζα πολυτελής, τὰ σκεύη τῆς τραπέζης
ἀπὸ χρυσοῦ μετὰ πολλῶν ἐξόχων τεχνωμάτων·
νὰ κατεπλάγης ἐκ παντὸς τοῦ χρυσοχοῦ τὰς χεῖρας.
Ἐν ὅλοις τούτοις τοῖς καλοῖς καὶ φιλοτίμοις πᾶσιν
ἄνθρωπος οὐ παρέτρεχεν, οὐκ ἦν ἀνθρώπου φύσις,
οὐ φύλαξις τῆς τράπεζας, οὐ φύλαξις τῆς πόλις,
οὐδ' ὑπηρέτης τῶν πολλῶν πολυτελῶν βρωμάτων.
Καὶ τοῦτο ζάλην περισσὴν καὶ σύγχυσιν εἰσῆγεν
καὶ θόρυβον καὶ ταραχὴν εἰς τὴν ψυχὴν ἐκείνου.

Περὶ τῆς κλίνης τῆς λαμπρᾶς ἐκείνης ἀφηγεῖται.

Κλίνη λαμπρά, πολύτιμος, χρυσῆ μετὰ μαργάρων, | (F.9,a.)
κοκκίνων λίθων τηλαυγῶν οὓς λέγουσι λυχνίτας.

351. ἐπήγεν ἀνεζήτισεν. εἶδεν. — 352. χαμίνην εὕριχεν ἀνάπτων. — 353. χωρὶς τινὸς (*bis*). — 354. ξιλαλῶϊν. ἀντιτῶν. γέμων.— 355. κάλος. — 356. τάλλα. πλήρει. — 357. εὐρέθει. βρομάτων πλῆθος. — 358. μίσοι. — 359. οὐκεξαρκέσει. — 360. μήσους. — 361. ἡδονάς. — 362. πολυτελεῖς τασκευει. — 363. ἀποχρυσοῦ. ἐξόδων. — 364. ναχατεπλάσης. χείρας. — 365. δλλοις. φηλοτίμοις πάσιν. — 367. φήλαξις τράπεζας. — 368. βρομάτων. — 369. τούτου ζάλιν περισὴν. σύγχησιν εἰσήγεν. — 371. κλήνης. ἀφηγείται. — 372. κλήνη. χρυσή. — 373. κοκίνων. τιλαυγῶν οὗς.

Ἐκεῖνος, τὴν λαμπρότητα τῆς κλίνης ἀτενίσας
καὶ τὴν στρωμνὴν τὴν πάγχρυσον — ἦν γὰρ χρυσοῦν τὸ στρῶμα —
καὶ τῆς τροφῆς τὸ τρυφηλὸν τὸ ἀπὸ τῶν βρωμάτων
καὶ βλέπων πάντα τὰ λαμπρὰ παντὸς ἀνθρώπου δίχα,
πολλὰ συνεταράττετο, πολλὰς ἐννοίας εἶχεν,
λέγων· « καὶ πόθεν ὁ χρυσὸς συνεφοράθη τόσος
καὶ τίς συνάξας ἔφερεν τοὺς τηλικούτους λίθους;
οὕτως ἐκένωσεν ἁπλῶς εἰς μὴ χρησίμους τόπους.
Χρῆσις ἀνθρώπων καὶ χρυσὸς καὶ μάργαρος καὶ λίθοι.
Πάντως οὐδέν [τι] τὸ κοινὸν ἐξαπορῶ καὶ τρέμω.
Τοσοῦτον κόσμον ἄμετρον χωρὶς ἀνθρώπου βλέπω,
χωρὶς δεσπότου καί τινος ἐνδεχομένου τρόπου.
Φοβοῦμαι τὰ παράδοξα καὶ παρὰ φύσιν ταῦτα
μήπως καὶ τίποτε κακὸν ἔχουσι κεκρυμμένον. »
Εἶπεν εἰς νοῦν, ἐλάλησεν ταῦτα μετὰ φροντίδος·
εἰς τὸ κρεββάτιν τὸ λαμπρὸν ἐκάθησεν ἐπάνω,
ἔφαγεν ὅσον ἄνθρωπος θορυβισμένος τρώγει,
ἀνέστη πάλιν· τράπεζαν εὗρεν ἐγγὺς ἑτέραν,
ἄλλην μὲ τὴν λαμπρότηταν, ἄλλην μὲ τῶν χαρίτων.
Λίθινα σκεύη παρ' αὐτῆς, τῶν πολυτίμων λίθων.
Εἰς σκεύη μετελάξευσε παντοδαπά, ποικίλα
πελάξιν λίθον τηλαυγῆν, λυχνίτην ἄλλον λίθον,
εἰς σκεύη | μετετέχνωσεν ὑδατοφόρα πάντα, (F. 9, b.)
ἐκλαξευθέντων τεχνικῶς ἐξ ὑακίνθου λίθου
τῶν ἐκπωμάτων τῶν λαμπρῶν τραπέζης τῆς δευτέρας.

374. ἐκείνος. λαμπρότιτα. — 375. στρομνὴν. στρόμα. — 376. τρυφιλὸν τῶν ἀποτῶν βρομάτων. — 378. συνεταράτετο. εἴχεν. — 380. τιληκούτους. — 381. οὔτως. ἁπλῶς. χρισίμου. — 382. χρύσις. — 383. οὐδὲν τὸ. — 384. τόσούτον. — 385. καὶ τινὸς. — 386. παραφύσιν ταύτα. — 387. κεκριμένον. — 388. εἴπεν. ταύτα. μεταφροντίδος. — 389. τοκρεβάτην. — 390. ὁσον. θορυβησμένος. — 391. ἀνέστει. εὗρεν. ἑτέραν. — 392. λαμπρότιταν. μετῶν. — 393. λίθηνα σκευηπαραυτῆς. λύθων. — 395. τιλαυγὴν. λιχνίτην. — 396. σκευει μετετέχνοσεν ὑδατοφόρα. — 397. ἐκλαξευθέντου τεχνηκὸς ἐξιακίνθου. — 398. ἐκπομάτων.

Ἐκφράζει, λέγει τεχνικῶς ὡς ἦσαν λαξευμένα.

Πολλοὺς ∪ ⊥ ∪ τοὺς λαμπροὺς τοὺς πολυτίμους πάντας
. . . .
Πρὸς τὴν δευτέραν τράπεζαν μετέθηκεν ἐκεῖνα
οἴνων μεστὰ παντοδαπῶν, παντοίων τε πωμάτων·
χιόνες ἦσαν κείμενοι καὶ κρύσταλλοι καὶ πάγοι
εἰς ψυχοπαρηγόρημαν παντὸς καυματωμένου.
Ἀλλὰ καὶ τί πολυλογῶ καὶ τὰ περὶ τὴν πόσιν;
Ὡς ἂν ἀπὸ τοῦ καύματος καὶ τῆς ὁδοῦ τὸ μῆκος
καὶ μᾶλλον ἐκ τὴν μόνωσιν ἐκεῖνος φλογισμένος
— πολλὴ γὰρ ἦν ἡ μόνωσις τοῦ παραξένου ⊥ ∪, —
ψυχρὸν εἰς κόρον ἔπιεν, ἀνέσανεν ὀλίγον,
κἂν ὅσην καὶ τὴν πνιγμονὴν εἶχεν ἐκεῖνος τότε.
Καὶ πάλιν ἦν ἀγανακτῶν καὶ πάλιν ἦν φροντίζων
καὶ σφόδρα δειλαινόμενος τὴν ἐρημανθρωπίαν.
Ὅμως μετεδημάτισεν, μικρὸν μετεκινήθην
καὶ πάλιν ἄλλην καλλονὴν καὶ χάριν ἄλλην εἶδεν.

Καὶ τὸ κελλὶν τοῦ δράκοντος ὡς εὗρεν ἀφηγεῖται.

Εὗρε κελλὶν ὁλόχρυσον· ὢ! τίς τὴν χάριν εἴπῃ
κἂν τὰς τοσαύτας καλλονὰς τίς ἀριθμήσει λόγος;
Ἦν ὅλον χάρις τὸ κελλὶν καὶ τῶν χαρίτων οἶκος.
Εἶχεν ἐκεῖνο τὸ κελλὶν — ἀλλὰ καὶ πῶς ἐκφράσω; —

399. τεχνυκῶς. ἦσαν. Le vers est écrit dans le codex à la suite. — 400. πολυτήμους.— 401. ἐκείνα. — 402. οίνων μεστῶν. παντίων τερπομάτων. — 403. χίωνες ἦσαν κήμενοι. κρίσταλοι. — 404. ψυχοπαρηγόριμαν. καυματομένου. — 406. ὀδοῦ. μήκος. — 407. μάλον. μόνοσην. ἐκείνος (toujours avec l'accent aigu pour le masculin et le neutre).— 408. μόνοσις.— 410. εἶχεν. — 411. ἀγανακτὼν.— 412. ἐριμαθρωπίαν. — 413. μετεδημάτησεν μηκρὸν μετεκηνίθειν. — 414. ἄλην καλονὴν. ἄλην οἶδεν. — 415. καιλὶν. εὗρεν ἀφηγείται. — 416. εύρε κελὶν ὀλόχρυσον ὦ. χάρην. — 417. καλονὰς. λόγους. — 418. ὅλον. κελελὶν. χαρήτων οἶκος.— 419. εἶχεν.

ὁλοχρυσομαργάρωτον, | κατάχρυσον τὴν στέγην, (F. 10, a.)
πλὴν οὐχ ἁπλῶς κατάχρυσον καὶ μεμαργαρωμένην,
οὐδ' ἀπὸ λίθων τηλαυγῶν τὸν κόσμον εἶχεν μόνον,
ἀλλ' εἶχεν στέγην οὐρανὸν καὶ τοὺς ἀστέρων δρόμους
— θαυμάζω πῶς τὸν οὐρανὸν καὶ τοὺς ἀστέρων δρόμους, —
μετὰ πανσόφου μηχανῆς καὶ τέχνης παραξένου.
Τὸ στέγασμα τὸ πάγχρυσον ἐκείνου τοῦ κελλίου
ὁ Κρόνος ἦν ὡς ἐν χερσὶν τὸν οὐρανὸν συνέχων
καθήμενος ἐφ' ὑψηλοῦ θρόνου, λευκὸς τὰς τρίχας·
ἐκεῖ καὶ Ζεὺς ἱστόρητο λευκὸς οὐρανοδρόμος
ὥσπερ τις μέγας βασιλεὺς, δυνάστης ἐπηρμένος,
αὐθέντης ὅλων τῶν ἀρχῶν καὶ τῶν στεμμάτων ὅλων.
Ἀστὴρ ἐκεῖθεν ἔλαμπεν λαμπρὸς τῆς Ἀφροδίτης
ἔχων ἀκτῖνας τηλαυγεῖς, ἡδονικὰς, ὡραίας·
καὶ μετ' αὐτὸν ἱστόρησεν τὸν Ἄρην ὁ τεχνίτης
ἐρωτικῶς συμπαίζοντα μετὰ τῆς Ἀφροδίτης.
Εἶχεν ἐκεῖ τὴν Ἀθηνᾶν ἐν θρόνῳ καθημένην
καὶ διακοσμούσας Χάριτας τὸν οὐρανὸν ἐκεῖνον.
Ἐν μέσῳ τούτων συμπλοκὰς πολλῶν ἀστέρων εἶχεν.

Ἄρξεται τὸ ὀδυνηρόν.

Τὸ μεῖζον τούτων, τεχνικῶς τὴν στέγην ὁ τεχνίτης
ἐποῖκεν ἄλλον οὐρανὸν, ἐποῖκεν ἄλλον πρᾶγμα·
οὐρανοδρόμον ἕτερον ἐφόρεσεν ἐντέχνως

κελλὶν. — 420. ὁλοχρυσομαργάροτον. — 421. οὐχαπλῶς κατάχρησον. με μαργαρομένην. — 422. οὐδεάπολύθων τιλαυγῶν. εἶχεν. — 423. εἶχεν. — 425. μεταπανσόφου. — 426. πάνχρησον. κελίου. — 427. ὃς. — 428. ὑψυλοῦ (η above υ). — 429. ἐκεὶ. ζεῦς ἱστόρητο. — 430. τὶς. ὑπερμένος. — 431. ὅλων. στεμάτων ὅλος. — 432. ἐκείθεν. — 433. ἀκτίνας τιλαυγεῖς. ὀραίας. — 434. μεταυτὸν ἠστόρισεν. ὁ τεχνήτης. — 435. ἐρωτικὸς συμπέζοντα. — 436. εἶχεν ἐκεὶ. ἀθηνὰν. — 437. δυσκομούσαν χαρ. (Bk. διεκοσμοῦσαν χάριτες.) — 438. εἶχεν. — Titre. ὀδινηρόν. — 439. τεχνηκῶς. ὁ τεχνήτης. — 440. ἐποίκεν. ἐπόκεν. πράγμα. — 441. ἕτερον ἐφόρεσαν.

μετὰ πολλῆς καὶ θαυμαστῆς τῆς ἀριστοτεχνίας.
Ἀλλ' εἶχεν λύπην οὐρανός, εἶχεν πολλὴν πικρίαν,
εἶχεν | πολὺν τὸν στεναγμὸν καὶ τὰς ἀγανακτήσεις. (F.10,b.
Καὶ τίς ἐκεῖνο τὸ πικρὸν χωρὶς ὀδύνης εἴπῃ,
τίς οὐ κενώσει ποταμοὺς δακρύων πρὸ τοῦ λόγου,
τίς οὐ ῥαγῇ τὴν αἴσθησιν καὶ συντακῇ καρδίαν;

Τὴν κόρην ὡς ἐκρέματο στενάζων ἀνεκφράζει.

Ἐν μέσῳ γὰρ — ἀλλὰ πολὺν ὁ λόγος πόνον ἔχει —
ἐκ τῶν τριχῶν ἐκρέματο κόρη μεμονωμένη.
— Σαλεύει μου τὴν αἴσθησιν, σαλεύει μου τὰς φρένας. —
Ἐκ τῶν τριχῶν — αἲ φρόνημα παράλογον τῆς τύχης —
ἐκ τῶν τριχῶν ἐκρέματο κόρη. Σιγῶ τῷ λόγῳ,
ἰδοὺ σιγῶ, μετὰ νεκρᾶς καρδίας τοῦτο γράφω,
ἐκ τῶν τριχῶν ἐκρέματο κόρη μὲ τῶν χαρίτων·
ἣν μόνον ἀτενῶς ἰδὼν ὁ τρίτος παῖς ἐκεῖνος,
ὁ τρίτος παῖς Καλλίμαχος, τὸ κάλλος τῶν ἐρώτων,
ἡ τολμηρὰ καὶ δυνατὴ καὶ στεναρὰ καρδία,
καὶ παρευθὺς ἐπέμεινεν ὡς λίθος εἰς τὸν τόπον.
Ἔβλεπεν μόνον ἀτενές, ἵστατο μόνον βλέπων,
εἶναι καὶ ταύτην ἔλεγεν ἐκ τῶν ζωγραφημάτων.
Οὕτως τὸ κάλλος δύναται ψυχὰς ἐξανασπάσαι,
ἁρπάσαι γλώσσας καὶ φωνάς, καρδίας ἐκνεκρῶσαι.
Ἐκεῖνος μέν, τῆς γυναικός, τῆς κόρης τῆς παρθένου
τοσαύτας βλέπων χάριτας καὶ τὸ τοσοῦτον κάλλος,

442. μεταπ. — 443. εἴχεν (bis). πολὴν πικρήαν. — 444. εἴχεν. ἀγανοκτίσεις. — 445. ὀδίνης εἴποι. — 446. προτοῦ. — 447. συντακεῖ. — 448. Le vers est écrit dans le ms. à la suite. — 449. πολλήν. — 450. μεμονομένη. — 452. αἱ φρώνιμαι. — 453. τρυχῶν. συγῶ. — 454. ἰδοῦ συγῶ μετάνεκρας. τούτο. — 455. μετῶν. Il n'est pas nécessaire de changer en μεστή. — 456. ἣν μόνην. Peut-être pourrait-on écrire dans le texte μόλις au lieu du mot μόνον que j'ai préféré. ὁ. — 457. κάλος. — 460. ἴστατο. — 461. εἶναι. — 462. οὔτης. — 463. ἁρπάσαι γλώσας. ἐκνεκρώσαι. — 465. τοσούτον κάλος.

ἵστατο βλέπων ἀτενῶς, καρδίας ἀνεσπᾶτο,
ἵστατο βλέπων, μὴ λαλῶν, ἀπὸ διπλοῦ τοῦ τρόπου·
τὸ κάλλος ἐξεπλήττετο, τὸν πόνον συνεπόνει·
καὶ μόνον ἀνα | στέναξεν ἀπὸ ψυχῆς θλιμμένης. (F. 11, a.)
Ἐκείνη δὲ μετὰ πικροῦ καὶ θλιβεροῦ τοῦ τρόπου,
μετὰ φωνῆς ὀδυνηρᾶς καὶ κεκαυμένης γλώττης

Ἀπόκρισις περίλυπος τῆς κόρης πρὸς τὸν νέον·

λέγει πρὸς τοῦτον· « ἄνθρωπε, τίς εἶσαι, πόθεν εἶσαι;
Εἰ δ' ἴσως εἶσαι φάντασμα ἀνθρώπου φύσιν ἔχον,
ἀνδρεῖος εἶσαι, φρόνιμος, μωρός, ἀπεγνωσμένος;
Τίς εἶσαι, τί σιγᾷς υ ⊥, τί στήκεις, μόνον βλέπεις;
Μὴ γὰρ ἡ τύχη μου καὶ σὲ πρὸς κάκωσίν μου φέρει;
Μὴ φείδου κάκωσιν καὶ σὺ τῆς τύχης ἐπιφέρων·
εἰς κάκωσιν τὸ σῶμά μου τὸ βλέπεις παρεδόθη.
Εἰ τοῦτο βλέπεις καὶ πονεῖς τοῦ σχήματος, ὡς λέγεις,
. . . .
εἰ δὲ καὶ κόρον ἔλαβεν ἡ φθονερά μου τύχη
τῶν ἐτασμῶν μου τῶν πολλῶν τῶν εἰς τοσοῦτον χρόνον
καὶ σήμερον ἀπέστειλεν εἰς παρηγόρημα μου
νά με λυτρώσῃ τῶν πολλῶν ἀναταγμῶν μου τούτων,
εὐχαριστῶ τὴν τύχην μου, σφάξε με, σκότωσέ με.
Εἰ δ' ἴσως ἔφθασάς ποτε — ὅπερ οὐκ ἔχει φύσιν,
οὐκ ἔχει λόγον παντελῶς — εἰς παρηγόρημάν μου,
λάλησε λόγον, τί σιγᾷς; μικρὸν ἂς ἀνασάνω.
Ὁσπίτιν τοῦτο δράκοντος, οἶκος ἀνθρωποφάγου,

466. ἵστατο. ἀνεσπάτο. — 467. ἵστατο. λαλὼν ἀποδιπλοῦ. — 468. κάλος ἐξεπλήτετο. — 469. θλημένης. — 470. πυκροῦ. θληβεροῦ. — 471. με ταφωνῆς ὠδυνηρὰς. — 473. τούτον. ἦσαι (bis). — 474. ἦσαι. ἔχων. — 475. ἀνδρείος εἶσαι φρόνημος. ἀπεγνοσμένος. — 476. ἦσαι. σηγᾶς. — 477. προςκάκοσίν. — 479. σώμα. βλέπης. — 480. τούτο. πονῆς. λέγης. — 481. ἠδὲ. — 482. χρώνον. — 483. ἀπέστηλεν. παριγόρημά. — 484. ναμελυτρώσει. — 485. σκότοσέ. — 486. ἔφθασας ποτὲ. — 487. παριγόρημάν. — 488. σηγᾶς. μηκρὸν ἁς. — 489. ὀσπήτην τούτο. οἶκος.

σὺ δ' οὐκ ἀκούεις τὰς βροντὰς, τὰς ἀστραπὰς οὐ βλέπεις;
Ἔρχεται· τώρα τί στέκεις; Ἔρχεται· τώρα φεῦγε,
κρύβησαι. Δράκος τὴν ἰσχὺν, ἀνθρωποφάγου ῥίγμα.
Εἰ γὰρ κρυβῇς καὶ φυλαχθῇς, ἂν τύχῃ πάλιν ζήσεις. | (F. 11, b.)
Ἰδοὺ λεκάνην ἀργυρῆν αὐτὴν κειμένην βλέπεις;
ἂν ταύτην ὑποσκεπαστῇς, ἂν ὑποκάτω πέσῃς,
ἂν τύχῃ δράκοντος ἰσχὺν ἀκόρεστον ἐγλύσεις.
Καὶ φύγε, πέσε, κρύβησαι, σίγησε· τώρα φθάνει. »
Τὴν συμβουλὴν.ἐδέξατο καὶ πείθεται τοῖς λόγοις
τῆς κόρης τῆς ἐκ τῶν τριχῶν ἐκεῖσε κρεμαμένης,
καὶ τῇ λεκάνῃ σκεπασθεὶς ἐκρύβην παραχρῆμα.

Τοῦ δράκοντος ἐπέλευσις πρὸς τὸ κελλὶν ἐκεῖνο.

Ὁ δράκων ἦλθεν, ἔφθασεν ἀφιλανθρώπῳ γνώμῃ.
Καὶ τίς ἐνστάτῳ λογισμῷ καὶ σιδηρᾷ καρδίᾳ
εἴπῃ τὴν ἀφιλάνθρωπον τοῦ δράκοντος μανίαν,
τίς γράψει γνώμην σιδηρᾶν, ἀμείληκτον καρδίαν,
πέτρινα σπλάγχνα δράκοντος τίς ἱστορήσει λόγῳ;
Λαβών τι κείμενον ἐκεῖ λεπτὸν λυγῶδες ξύλον
ἀνέταξεν ἐπὶ πολὺ τὴν κρεμαμένην κόρην
μέχρι ποδῶν, ἐκ κορυφῆς ὡς ἄκρων τῶν δακτύλων.
Ὁ γὰρ καθήμενος ἐκεῖ ζωγραφισμένος Ἔρως
ὁ σπλάγχνα φλέγων καὶ σκληρὰς δουλογραφῶν καρδίας
οὐκ ἠδυνήθη δράκοντος καρδίαν πυρπολῆσαι,
οὐκ ἠδυνήθη δράκοντος σκληρὰν μαλάξαι γνώμην,

490. οὐκακούης. — 491. τόρα (bis). φεύγε. — 492. κρίβυσαι. ῥῦγμα. — 493. κριβῆς. φυλαχθεὶς ἀντίχη. — 494. δοῦ. ἀργυρὴν. κιμένην. — 495. ὑποσκεπαστῆς. ἀνυποκάτω πέσεις. — 496. ἀντυχη. ἐγλίσεις. — 497. κρίβησε. τόρα. — 498. πήθεται. — 499. ἐκείσε. — 500. τῆς λεκάνης. ἐκρίβειν παραχρήμα. — 501. προςτὸκελὴν ἐκήνο. — 502. ἀφιλάνθρωπον γνώμην. — 504. εἶποι. — 505. σιδηρὰν ἀμίληκτον. — 506. ἱστορίσει. — 507. τὶ κήμενον. λιγώδες. — 508. ἐπιπ. — 509. μέτρον. δακτίλων. — 510. ζωγραφησμένος. — 512. οὐκηδυνήθει. πυρπολήσαι. — 513. οὐκηδυνήθει. σκληρᾶ.

ἀλλὰ σκληρότης δράκοντος ἔφυγεν πῦρ ἐρώτων·
πῦρ γὰρ καὶ τόξον ἔρωτος ὁ δράκων οὐ φοβεῖται.
Μετά δε τὸν ἀναταγμὸν ἐκεῖνον τὸν φρικώδην
φέρει σκαμνὶν ὁλόχρυσον ἐκεῖνος ἀπανθρώπως
περὶ τοὺς πόδας τοὺς χρυσοῦς|τῆς γυναικὸς ἐκείνης. (F.12,a.)
Ἐπάτησεν εἰς τὸ σκαμνὶν ἡ κόρη μετὰ πόνου,
πλὴν οὐκ ἐλύθη τῶν τριχῶν κἂν τὸν καιρὸν ἐκεῖνον.

Τὴν παρὰ δράκοντος τροφὴν σκόπει τὴν τῆς ὡραίας.

Καὶ φέρει δίδει τὴν ψωμὶν ὅσον εἰπεῖν ὀλίγον
καὶ μὲ ποτῆριν λίθινον, σμαράγδινον ὀκάτι
νερὸν ὡς μόνον ῥούφημαν, οὐδέν τι πλέον τούτου·
τὸ δ' ἀληθὲς εἰς κόλασιν ταύτην φυλάσσων πάλιν.
Ἐκείνη πίνει τὸ νερὸν τοῖς πόνοις φλεγομένη,
τοῖς πόνοις καὶ τοῖς ἐτασμοῖς καὶ τριχοκρεμασίαις.
Εὐθὺς ἀπῆρεν τὸ σκαμνὶν ἐκ τῶν ποδῶν ὁ δράκων
καὶ πάλιν ἦν ἐκ τῶν τριχῶν ἡ κόρη κρεμαμένη.

Τὸν ὁρισμόν, τὸ πρόσταγμα, τοῦ δράκοντος τὸν λόγον
καὶ πᾶσαν τὴν ὑπακοὴν τὴν σύντομον ἣν εἶχεν,
ἅπαντα σκόπει, μάνθανε καὶ θαύμασον ἀκούων.

Μικρὸν κρεββάτιν ἔκειτο, πολύτιμον ἂν εἴποις,
εἰς τὸ κελλὶν τὸ θαυμαστὸν τοῦ δράκοντος ἐκείνου,
ἢ μᾶλλον πιλατήριον καὶ φυλακὴν τῆς κόρης·
σκεῦος βασάνων ἂν εἰπῇς, οὐκ ἀστοχήσεις λέγων.
Μικρὸν κρεββάτιν ἔκειτο, ἀπὸ τῆς γῆς ὀλίγον

514. πὺρ ἐρότων. — 515. πὺρ. φωβῆται. — 516. φρηκόδην. — 517. σκαμνὴν ὀλόχρυσον. — 518. χρυσοὺς. — 519. σκαμνὴν. — 520. οὐκ-ελύθει. — 521. παραδρ. σκοπὸν τὸν. — 522. δίδη. ὕσον. — 523. μεποτίρην λύθηνον σμαράγδηνον ὀκάτι. — 526. πύνει. — 527. τρυχοκρεμασίας. — 528. ἀπήρεν. σκαμνὴν. ὀ. — 529. τρυχῶν. — 530. ὀρισμὸν. — 531. ὑπ. εἶχεν. — 532. ὅπαντα. ακούων. — 533. κρεβάτην. εἴπης. — 534. κελλὶν. — 535. μάλλον πυλ. — 536. σκευος. οὐκαστοχήσεις. — 537. κρεβάτην. ὀλύγον.

ὑπερηρμένον, χαμηλόν, ἐκ λίθων πολυτίμων.
Ὁ δράκων ἀνεκάθησεν μόνος εἰς τὸ κρεββάτιν,
ὥρισεν, ἦλθεν παρευθὺς καὶ τὸ τραπέζιν μόνον
ἔχον τροφὰς πολυτελεῖς | πρὸς ἀκορέστου στόμα. (F. 12, b.)
Ἔφαγεν πλεῖστα καί ποτε μόλις ὡς ἐκορέσθην,
— οὐδὲν γὰρ ἐσπλαγχνίζετο τὴν κόρην κρεμαμένην, —
καὶ κορεσθεὶς, ἀναπεσὼν ὁ δράκων ἐκοιμήθην.

Τὸν ὕπνον τὸν τοῦ δράκοντος καὶ φόνον τούτου μάθε,
(τὸν) ὕπνον βαθὺν, θανάσιμον, ὡς ἐκ τοῦ λόγου μάθῃς.

Ἡ κόρη γοῦν τὸν δράκοντα κοιμώμενον ἰδοῦσα
καὶ χαίροντα μετὰ πολλῆς τῆς μέθης καὶ τοῦ κόρου
καὶ ῥέγχοντα κοιμώμενον, ἐξαπλωμένον ὅλως
— ὕπνος καὶ γὰρ ἀπὸ τροφῆς καὶ πόσεως μεγάλης, —
ὡς εἶδεν γοῦν τὸν δράκοντα λοιπὸν ἡ Χρυσορρόη
κοιμώμενον βαθύτατα, ἀναίσθητον καθόλου,

Τῆς Χρυσορρόης λόγος τῷ κρυπτομένῳ.

λέγει πρὸς τὸν κρυπτόμενον· « ἄνθρωπε, ζῆς ἐν φόβῳ,
ἀπέθανες; μὴ φοβηθῇς, μᾶλλον ἀνδρίζου πλέον.
Εξελθε τοίνυν· μὴ φοβοῦ, ἂν ἴσως ἐπιπνέῃς
τῶν ἐτασμῶν μου τῶν πολλῶν καὶ φόβῳ τοῦ θηρίου (;).
Ἔξελθε σύντομα, γοργὰ σκοτώσῃς τὸ θηρίον. »
Ἐκεῖνος οὖν πρὸς τὴν φωνὴν ἐξῆλθεν μετὰ φόβου.
Ἡ κόρη λέγει πρὸς αὐτόν· « ποσῶς μὴ δειλιάσῃς·

538. ὑπερήρμένον. λύθων. — 539. κρεβάτην. — 540. ὥρισεν. τραπέζην. — 541. ἔχων. πολυτελῆς. στώμα. — 542. πλήστα. ποτὲ. — 543. ἐσπλαγχνήζετο. — 544. ἐκημήθειν. — 545. ὕπνον. — 546. ὕπνον. Le vers est écrit dans le ms. avec les suivants. — 547. κοιμόμενον ἰδούσα. — 548. μεταπολῆς. — 549. ῥέγχωντα κοιμόμενον ἐξαπλομένον ὅλως. — 550. ὕπνος.— 551. ἴδεν. ἡ χρυσορώη. — 552. βαθήτατα. — Titre. χρυσορόης. κρηπτομένω. — 553. προς. — 554. φοβηθεὶς μάλλον. — 556. θυρίου. — 558. ἐξήλθεν μεταφόβου. — 559. μηδιληάσης.

ἰδοὺ καιρός, κοιμώμενον σκοτώσῃς τὸ θηρίον.
καὶ πρῶτον μὲν τὸ σῶμά σου καὶ τὴν ψυχήν σου σώσῃς.
Σπαθὶν βαστάζεις, σύρε το, δὸς τὸν ἀνθρωποφάγον,
σφάξε καὶ σὺ τὸν σφάξαντα πολλὰς ψυχὰς ἀνθρώπων
καὶ σκότωσον τὸν σκοτισμὸν τῆς ὅλης μου καρδίας. » | (F. 13, a.)
Ἐστάθην, ἀναστέναξεν, ἀνέτεινε τὴν σπάθην
μετὰ καλοῦ τοῦ σχήματος, μετὰ καλῆς ἀνδρείας,
ἔδωκε τὸν κοιμώμενον ὡς ἠδυνήθη δοῦναι,
ἀλλ' οὐδὲ κἂν ἐξύπνησεν τοῦ δόσματος ὁ δράκων.
Ἡ κόρη γοῦν στενάξασα τῷ Καλλιμάχῳ λέγει·
« ῥίψε τὸ ξυλοσπάθιν σου μὴ τώρα φονευθῶμεν·
καί, τὸ κλειδὶν ἀναλαβὼν ἀπὸ τῶν προσκεφάλων,
ἐκεῖνο τὸ τοῦ δράκοντος βλέπεις τὸ τοιχαρμάριν;
τὸ τοιχαρμάριν ἄνοιξε· τοῦ δράκοντος τὴν σπάθην
εὑρήσεις. Ἔχει κράτημα καλόν, λυχνίτην λίθον.
Αν ἔχῃς ἕλκειν δύναμιν, οὐκ ἐκ τοῦ φόβου τρέμῃς
καὶ στῇς καὶ δώσῃς μετ' αὐτῆς, διχάσεις τὸ θηρίον. »

Καὶ τὸ κλειδὶν ἀναλαβὼν [ἀπὸ τῶν προσκεφάλων]
ἐκεῖνος τὸ τοῦ δράκοντος ἀνοίγει τοιχαρμάριν.

Καὶ τὸ σπαθὶν ἀναλαβὼν τοῦ δράκοντος ἐκεῖθεν
καὶ κρούσας τοῦτον μετ' αὐτοῦ ἐδίχασεν αὐτίκα.
Τοίνυν τὴν κόρην ἔλυσεν αὐτὴν τὴν κρεμαμένην·
ἐξέβηκεν ἀπὸ ποινῆς ἀναταμμένον σῶμα,
ἐρρύσατο τῆς φυλακῆς καὶ τῶν πικρῶν ἐκείνων
σῶμα καλόν, ἐνήδονον, πανεύμορφον, ὡραῖον.

560. ἰδοῦ. κιμόμενον σκωτόσης. — 561. πρώτον. σώμα. — 562. βαστάζης. σήρε. — 563. σφάξαι. πολᾶς ψυχᾶς. — 564. σκότοσον. δλης. — 566. μεταx. — 567. ἠδυνήθει. — 568. οὐδε. — 569. καλημάχω. — 570. ῥύψαι. ξυλοσπάθην. τόρα φωνευθώμεν. — 571. κλυδὴν. — 572. ἐκείνο. τυχαρμάρυν. — 573. ἄνηξε. — 574. εὑρίσης. λυχνήτην. — 575. ἔχεις ἔλκειν. — 576. στεῖς. δώσεις. διχάσης. — 577. κλιδὴν. — 578. ανήγει τυχαρμάριν. — 579. σπαθὺν. δράκωντος ἐκείθεν. — 580. τούτον μεταυτῆς. — 581. κρεμμαμένην. — 582. ἐξέβικεν ἀποπινῆς ἀναταμένον σώμα. — 583. ἐρύσατο. πυκρῶν. — 584. σώμα. ἐνίδονον. ὡραίον.

Λύσις λοιπὸν τῆς συμφορᾶς, λύσις λοιπὸν τοῦ πόνου
τῆς Χρυσορρόης πάντερπνου καὶ ἐρωτοκαλλιμάχου.

Ἐκείνη γοῦν μετὰ κλαυθμοῦ « τίς εἶσαι » πάλιν λέγει | (F. 13, b.)
« πῶς εἰς δρακόντων στόματα μέσον εἰσῆλθες τόδε;
φοβοῦμαι μή ποτε καὶ σὺ τύχης μου πλάσμαν εἶσαι
καὶ πρὸς δευτέραν ἀπειλὴν ἐκ ταύτης ἀπεστάλης·
οὐ γὰρ πιστεύω καί ποτε κόρον λαβεῖν τὴν τύχην. »

Ἡ κόρη τὸν Καλλίμαχον ἀναρωτᾷ τὸ γένος
καὶ κεῖνος ἀποκρίνεται, λέγει το πρὸς ἐκείνην.

Ὁ δ' αὖθις εἶπε τὴν ἀρχὴν τὸ γένος καὶ τὴν χώραν
καὶ τὴν αἰτίαν τῆς ὁδοῦ καὶ τὴν ἀρχὴν τοῦ δρόμου,
τῶν ἀδελφῶν τὸν χωρισμόν, τὰ κατὰ μέρος ὅλα.
Αὐτὸς δὲ πάλιν τὴν ἀρχὴν ἐπιζητεῖ τῆς κόρης,
τὸ γένος, τὴν ἀνατροφήν, τὴν χώραν, τοὺς προγόνους,
τοὺς ἐτασμοὺς τοῦ δράκοντος ἐκείνους τοὺς φρικώδεις.

Τοῦ Καλλιμάχου ζήτησις πάλιν πρὸς Χρυσορρόην
τῆς πατρικῆς γεννήσεως, τῆς χώρας καὶ τοῦ πάθους.

Ἡ δέ, στενάξασα πικρῶς ὡς ἀπὸ σπλάγχνων μέσων,
ἐκίνησαν ἐξ ὀφθαλμῶν, φεῦ, ποταμὸς δακρύων,
καὶ λέγει· « μάτην, ἄνθρωπε, ζητεῖς μου τὴν πατρίδαν
καὶ τὴν πικρὰν ἀνατροφὴν καὶ τὸ πικρόν μου γένος.

585. λυπὸν (bis). — 586. χρυσορόης παντέρπνου. ἐρωτικωκαλιμάχου. — 587. ἦσαι. — 588. εἰσήλθες. — 589. φοβούμαι μηποτε. εἶσαι. — 590. προς. ἀπηλὴν. ἀπεσταλει. — 591. πιστευω καὶ ποτὲ. — 593. κείνος ἀποκρήνεται. ἐκήνην. — 594. δαῦθις ἀπετὴν. τοῦ γένους. — 595. ὀδοῦ. τρόπου. — 596. καταμέρος ὄλλα. — 598. ἀναγωγὴν. πρωγώνους. — 600. ζήτισις. — 601. γενήσεως. — 602. ἀποσπλάγχνων μέσον. — 603. ἐκήνισαν. — 604. ζητῆς.

Νεκράν με βλέπεις σήμερον αἰχμάλωτον κειμένην,
ὡς δούλην ἀργυρώνητον ἐταζομένην ἄλλην.
Τί θέλεις χώραν δυστυχοῦς, τί θέλεις χώραν ξένης;
Ἀρκεῖ σε βλέπειν με νεκρὰν ἐξ ἐτασμοῦ τοσούτου. | (F.14,a.)
Ἄφες με μόνην· τὰς πληγὰς ἐγὼ σπογγίσω μόνη
ὅσας με κατεχόρτασεν ἡ φθονερά μου τύχη. »
Ὁ δὲ· « τί λέγεις; τὰς πληγὰς ἐγὼ σπογγίσω μόνος,
ἐγὼ δουλεύσω σήμερον εἰς τηλικοῦτον σῶμα. »
Ἡ δὲ καὶ πάλιν ἔκλαυσεν, ἐστέναξεν ἐκ βάθους,
εἶπεν· « Ἐγὼ τῆς δυστυχοῦς καὶ φθονερᾶς μου τύχης
μόνη τοὺς πόνους ἔπαθα, μόνη τοὺς πόνους οἶδα. »
Ἐκεῖνος συνεπόνεσε τῆς γυναικὸς τὸν πόνον
καὶ τὸν τοσοῦτον στεναγμὸν καὶ τὸ θλιμμένον σχῆμα
καὶ μετὰ λόγου σπλαγχνικοῦ καὶ θλιβερᾶς καρδίας
καὶ πονεμένου σχήματος παρακαλεῖ καὶ λέγει·
« τὸ σῶμα μέν σου προφανῶς τὸ γένος σου στριγγίζει
ὡς πανευγένου καὶ καλοῦ, βασιλικοῦ, μεγάλου.
Ἐγὼ δὲ πάλιν λέγω σε, παρακαλῶ σε πλέον,
ἄς μάθω καὶ τὴν χώραν σου καὶ τὴν ἀνατροφήν σου
καὶ πῶς ἐκ γένους ἀρχικοῦ, βασιλικοῦ, μεγάλου
εἰς ἀπανθρώπου δράκοντος τὰς χεῖρας παρεδόθης. »

Τὸ γένος, τὴν ἀνατροφὴν ἡ Χρυσορρόη λέγει.

Ἡ δὲ ᴗ ⏊ ᴗ κλαύσασα, πονήσασα τῷ λόγῳ·
« βλέπεις ἀπερικάλυπτον τὸ ταπεινόν μου σῶμα,
καὶ πρῶτον φέρον, σκέπασον ἀπὸ τῶν ἱματίων

606. βλέπης σύμερον αἰχμάλοτον κυμένην. — 607. ἀργυρόνητον. — 608. θελης. δυστιχοὺς. θέλης. — 609. μὲ. ἐξετασμοῦ. — 610. σπονγγήσω. — 611. ὄσας. — 612. σπονγγύσω. — 613. τοιλικούτον σώμα. — 614. ἡδὲ. — 615. εἶπεν. — 617. ἐκείνος. — 618. τοσούτον. θλημένον σχήμα. — 619. μεταλ. — 621. σώμα. πρωφανῶς. στριγγήζει. — 624. ἀς. — 626. ἀπἀνθρώπου δράκωντος. χείρας. παρεδώθει. — 627. χρησορρόη. — 629. βλέπης ἀπερικάλιπτον. ταπηνόν. σώμα. — 630. πρώτον. ἀποτῶν ἱματίων.

τῶν κρεμαμένων ἔνδοθεν καὶ τῶν φυλασσομένων,
ἅπερ αὐτὸς ἐκ τῶν ἐμῶν ἔλαβεν γεννητόρων,
καὶ τοῦ παμφάγου | δράκοντος ἐκφόρησον τὸ σῶμα (F.14,b.)
ὅτι μισῶ καίτοι νεκρὸν ὁρᾷν τὸ πτῶμα τούτου.
Ἄψον πυράν, κατάκαψον, στάκτην λεπτήν το ποῖσε
καὶ τότε καταμάνθανε τὸ γένος καὶ τὸν τόπον
καὶ τὴν πατρίδα τὴν ἐμὴν καὶ πόθεν ἐγενόμην. »
Ὁ δὲ Καλλίμαχος εὐθὺς τοῦ δράκοντος τὸ σῶμα
εἰς ὤμους τού το ἔθηκεν, ἐξήβαλέν το ἔξω.
Εἶτα δραμὼν ὡς ἀετὸς εἰς τὸ χαμίνιν πάλιν
καὶ πῦρ βαλὼν ἐξέκαυσεν τὸ μυσαρὸν τὸ σῶμα.
Στραφεὶς δ' ὀπίσω πρὸς αὐτὴν καὶ τὸ κελλὶν ἀνοίξας
ἐπαίρει, φέρει πρὸς αὐτὴν λεπτὸν χιτῶνα ξένον.
Τοῦτον αὐτὴ φορέσασα, καθήσασα καὶ πάλιν,
ἤρξατο λέγειν τὴν ἀρχὴν καὶ κατὰ μέρος πάντα,
τὸ γένος, τὴν ἀνατροφὴν καὶ χώραν καὶ πατρίδαν
καὶ τἄλλα πάντα τὰ πικρὰ τῆς παρανόμου τύχης.
Ὅτι « καλὴ καὶ εὐγενὴς θυγάτηρ ἐγενόμην
πολλῶν χρημάτων καὶ λαμπρῶν, φρικτῶν αὐτοκρατόρων.
Ἠράσθη δὲ τοῦ κάλλους μου — ποῦ δέ μοι κάλλος τώρα; —
ὁ δράκων οὗτος καὶ λαβεῖν γυναῖκαν ἤθελέ με·
καὶ δὴ συνάλλαγμα πικρὸν καὶ παρὰ φύσιν γάμον
τοὺς βασιλεῖς μου τοὺς γονεῖς ἐνώχλει τους νὰ ποίσῃ.
Οἱ μὲν συγκατετίθεντο τῷ φόβῳ τοῦ θηρίου.
Οὐδὲ γὰρ ἤφινεν νερὸν ποσῶς νὰ καταβάσῃ
ἐκ τοῦ βουνοῦ τῆς κορυφῆς, τοῦ ποταμοῦ ἐκείνου,
εἰς τοῦ πατρός μου τὴν ἀρχήν, τὰς χώρας καὶ τὰ κάστρη. | (F.15,a.)

632. ἄπερ. γενητόρων. — 633. πανφάγου. σώμα. — 634. ὅτι μησῶ καὶ τόν. Bk. ὁρὰν. — 635. ἄψον. τὸ ποίσαι. — 638. σώμα.— 639. ὅμους του τὸ ἔθυκεν. — 640. εἶτα. καμίνην. — 641. πὺρ λαβὼν. μισαρὸν. σώμα. — 642. κελὴν ἀνίξας. — 643. φαίρει. χιτόνα. — 644. τούτου. — 645. καταμέρος.— 646. ανατροφην.— 647. τάλλα. — 649. φροικτῶν. — 650. κάλους. κάλος τόρα. — 651. οὖτως. γυναίκαν. — 652. συνάλαγμα πυκρὸν· παραφύσιν. — 653. ἀνόχλητους ναπήσει. — 654. οὖν κατετύθεντο. θυρίου. — 655. ἤφηνεν. ποσὸς νακαταβάσει. — 656. κοριφῆς.— 657. κάστρει.

— Καὶ τοῦτο γὰρ τῆς τύχης μου τῆς ἀπανθρώπου ταύτης·
εἰς ὅλον τὸ περίγυρον τὰς αὐτοκρατορίας
τῶν γεννητόρων τῶν ἐμῶν ἄλλο νερὸν οὐκ ἦτον,
εἰ μὴ καὶ μόνον ποταμὸς καὶ κεῖνος ἐκρατεῖτο
παρὰ τοῦ δράκοντος αὐτοῦ καὶ τοῦ λυσσώδους τούτου. —
Εἶπον συγκατετίθεντο, ἐγὼ δ' οὐκ ἐπειθόμην,
δεινὸν θηρίον. . . . .
ἢ μᾶλλον οὗτος γίνεται ὁ πάντα πίνων δράκων
καὶ πάντα τὰ τετράποδα τῆς γονικῆς μου χώρας
εἰς ὥραν ἐξερρόφησεν ὡς ὕδωρ κοτυλαῖον
καὶ πάλιν ἤθελε λαβεῖν καὶ πάλιν ἐπεζήτα.
Οὐ θέλουσιν ἐκδοῦναί με καὶ θρῆνον συνιστῶσιν·
ἐξάπτει πάλιν πρὸς θυμὸν τὴν δρακοντώδη φύσιν,
αὖθις ἐπαπειλᾶταί μοι, τὸν γάμον ἀναγκάζει.
Ἐγώ, κἂν εἴ τι γένηται, τὸν γάμον ἀπαρνοῦμαι·
τῷ μὲν δράκοντι συνοικεῖν οὐδ' ἐν ὀνείρῳ θέλω.
Καὶ τότε πάντας αὐθωρὸν μικρούς τε καὶ μεγάλους,
ἄνδρας, γυναῖκας, γέροντας ὁμοῦ μετὰ παιδίων,
τοὺς πάντας ἐξερρόφησεν, οὐδέ τιναν ἐφῆκεν·
καὶ χώρα πᾶσα (;) καὶ λαὸς ἐχώρει τῇ κοιλίᾳ.
Καὶ τότε τοὺς αὐθέντας μου καὶ τοὺς γεννήτοράς μου,
αὐτοὺς τοὺς αὐτοκράτορας — ὦ! συμφορὰ καὶ λύπη,
ὢ κρίμα, πῶς ἀπέμεινα, πῶς ζῶ, πῶς ἀπαιμένω —
ἔφαγεν, ἐκατέπιεν, ἐφάνισεν τελείως
καὶ μόνην με κατέστησεν πάσης ἁπλῶς ἐλπίδος,

658. τούτο. ἀπάνθρώπου. — 659. ὅλον. περίγηρον. — 660. γενιτόρων. ἄλλον. ἥτον. — 661. κείνος ἐκρατείτο. — 662. λθσόδους. — 663. συνκατετέθεντο. ἐπιθόμηνν. — 664. δυνὸν θυρίον. — 665. μάλλον οὕτως γύνεται. ὁ π. πάλιν. — 666. τα. γωνικῆς — 667. ὥραν ἐξερώφησεν. ὕδωρ κωτιλαίον. — 669. ἐκδούναί μοι. θρύνον συνησθώσιν. — 670. προς. δρακωντόδη. — 671. αὔθις ἐπαπειλάται. — 672. γένοιται. — 673. τοῦ. δράκοντος. οἰκεῖν ἐνονήρω. — 674. αὔθορὼν μηκρούς. — 675. γυναίκας. μετα. — 676. ἐξορώφησεν. ἔφηκεν. Ce vers vient dans le ms. après 677. — 677. γλώσσα. λεμός. Bk. τὴ κοιλήα. — 678. γενήτοράς. — 680. χρήμα. ἀπέμηνα. ἀπεμένω. — 681. ἐκατέποιεν. τελίως. — 682. ἀπλῶς.

ταύτην καὶ μόνην πρὸς | αὐτοὺς τὴν χάριταν ποιήσας (F. 15, b.)
τὸ μοναχοὺς καταπιεῖν καὶ μοναχοὺς φονεῦσαι
τῶν ἄλλων δίχα τοῦ κοινοῦ καὶ δίχα τῶν ἀρχόντων.
Ὢ κρίμα πῶς οὐκ ἔσχισεν, πῶς οὐκ ἐρράγην τότε
τοῦ παντοφάγου δράκοντος ἡ δυσώδης κοιλία.
Τί γοῦν μετὰ τὸν θάνατον καὶ τί [γοῦν] μετὰ ταῦτα;
Ἁρπάζει με καὶ θέλει με μὴ βουλομένην ἔχειν.
Ἐγὼ δ' οὐ πείθομαι ποσῶς καὶ πάσχω τόσα πάθη,
καὶ μετὰ τόσους ἐταγμοὺς καὶ μετὰ τόσους πόνους
ἐνίκησα τοῦ δράκοντος τὴν ἄσπλαγχνον καρδίαν,
φυλαττομένη σήμερον ἀμόλυντος παρθένος. »
Ὁ δ' ἔφη πάλιν πρὸς αὐτήν· « Ἔρως αὐτὸν ὃν βλέπεις,
καθήμενος ἐπὶ λαμπροῦ βασιλικοῦ τοῦ θρόνου,
αὐτός σε συνετήρησεν, αὐτὸς ἐφύλαξέ σε
καὶ πρὸς τὰς χεῖρας τὰς ἐμὰς νῦν ὑποτίθεταί σε
καὶ τὰς ἐρωτοχάριτας ἃς φέρεις τοῦ προσώπου
αὐτὸς ὁ πάντων βασιλεὺς εὐεργετεῖ με πάντα. »
Ἡ δὲ καὶ πάλιν πρὸς αὐτὸν μετὰ δακρύων λέγει·
« Τὰς τηλικαύτας μου πληγὰς ἃς βλέπεις καὶ κακώσεις
. . . .
— ἀλλὰ καὶ πάλιν λογισμοὶ βλέπω το πολεμοῦν μοι. —
Κλῶσμα τῆς τύχης δυστυχὲς ἐκλώσθη μου καὶ μοίρας,
καὶ πάλιν ἐπικλώθει με τὸ κακομοίρασμά μου
ἀπὸ δυστυχοκλώσματος πικροῦ τῆς Ἀφροδίτης.
Ἄφες με μόνην σήμερον καὶ κλαύσω μου τὴν τύχην·
ἄνθρωπε, μάθε, δυστυχῶς ἐξεμοιρογραφήθην | (F. 16, a.)
καὶ μὴ θελήσῃς μετ' ἐμοῦ συμμοιρογραφηθῆναι.

684. φονεύσαι. — 686. κρύμα. ἔσχυσεν. οὐκεράγην. — 687. ἠδεισῶδης. — 688. τοιγοῦν. ταύτα. — 689. ἀρπάζει. ἔχει. — 690. δὲ οὐ. πάθει. — 691. μετα. αἰταγμοὺς. — 693. φυλαττομένην σύμερον. — 694. δέφη. βλέπῃς. — 695. ἐπιλ. θρώνου. — 696. συνετίρησεν. — 697. χήρας. ὑποτίθετέ. — 698. τοὺς. οὗς. — 700. μετα. — 701. τοιλικαύτας. βλέπῃς. κακόσεις. — 702. τὸ. πολεμούν. — 703. κλόσμα. ἐκλόσθη. — 704. ἐπικλώθη. κακομήρασμά. — 705. ἀποδυστιγωκλόσματος πτεροῦ. ἀφρωδήτης. — 706. σύμερον. — 707. δυστιγῶς. — 708. μετεμοῦ συνμοιρογραφηθήναι.

Ἡ δυστυχής μου, ληστρική καὶ φθονερά μου τύχη
ἐξαναπλάσαι δύναται τὴν ἀνθρωπίνην φύσιν
καὶ δρακοντίσαι καὶ τὴν σὴν ἀνθρώπινον καρδίαν.
Ἄφες με κλαύσω τὰς πληγὰς, φύγω τὸν πόνον τοῦτον.
Οὐχ ὑποφέρω δράκοντος ἐχθροῦ, πικροῦ τυράννου
οἰκῆσαι χώραν, κἂν καὶ σὺ πυρίκαυστον ἐποῖκες,
σκοτώσας τοῦτον ἀπηνῶς ὥσπερ πολλοὺς ἐκεῖνος.
Ἀλλὰ καὶ σὲ παρακαλῶ μὴ θέλῃς με πειράξαι,
γενοῦ φιλανθρωπότερος τῆς φθονερᾶς μου τύχης
μή σε συμπλέξῃ μετ' ἐμοῦ, μή σε δυστυχογράψῃ·
καὶ τὸ δυστυχογράφημαν τῆς φθονερᾶς μου τύχης
ἂν συμπλακῇς, ἄν το δεθῇς, ἄν το γνωρίσῃς μόνον
τὸν χρόνον ὅσον περπατῇς θλιμμένος θέλεις εἶσται,
μίαν ἡμέραν ἀγαθὴν οὐ μὴ [ποτέ] την ἴδῃς. »
Ταῦτα μὲν εἶπεν ἡ γυνὴ καὶ μετὰ πόνου τόσου
καὶ μετὰ τόσου στεναγμοῦ καὶ μετὰ τόσου θρήνου.
Ἀλλὰ τὸ πένθος, ὁ κλαυθμὸς, ὁ στεναγμὸς τῆς κόρης
μᾶλλον αὐτὸν ἡρπάξασιν πρὸς ἐρωτοληψίαν,
ἀνδραποδίζουσιν τὸν νοῦν καὶ τὴν ψυχὴν ἐκείνην
καὶ τὴν καρδιὰν ἐρωτικὰ καταδουλογραφοῦσι.
— Πολλάκις ἐν τοῖς στεναγμοῖς τὸ κάλλος ὑποφαίνει. —
Καὶ μετὰ πάσης ἡδονῆς περιπλακεὶς τὴν κόρην,
καταφιλεῖ τοὺς μώλωπας, παρακαλεῖ καὶ λέγει·
« Ἄφες τὸ σχῆμα τὸ νεκρὸν καὶ τὸν κλαυθμὸν | τὸν τόσον· (F. 16, b.)
ἀνάσανε· τῆς πνιγμονῆς ἐπνίγης, ἐνεκρώθης·
σῶμα καὶ γὰρ πανεύγενον εἰς πνιγμονὴν οὐ πρέπει.

709. ἡδυστιχής. — 712. τούτον. — 713. οὐχυποφέρω. πυκροῦ τυράνου. — 714. οἰκήσαι. ἐποίκες. — 715. σκωτόσας τούτον. — 716. πηράξαι. — 717. φυλανθρωπότερος. — 718. συμπλέξει μετεμοῦ. δυστιχογράψει. — 719. δυστιχογράφημαν. — 720. συνπλακῆς. δεθεὶς ἀν. — 721. ὅσον περπατεῖς θλιμένος θέλης είστε. — 722. μήαν ἡμέραν. τὴν ἤδης. — 723. ταύτα. εἶπεν ἡ. μεταπ. — 724. μετατόσου (*bis*). θρύνου. — 726. μάλλον. ἡρπάξασιν προς ἐρωτολειψίαν. — 728. καρδίαν. καταδουλογραφόσι. — 729. πολάκις. κάλος. ὑποφαίνει. — 730. μεταπ. ἡδονῆς. — 731. μώλωπας. — 732. σχύμα. — 733. πνηγμονῆς ἐπνήγης. — 734. πνισμονὴν.

Εἰ δὲ τὸ μοιρογράφημα τῆς τύχης καταρᾶσαι
ὡς μοιρογράφημαν κακόν, ὡς ἀπανθρώπου τύχης,
ἐγὼ τὸ μοιρογράφημαν τῆς τύχης μακαρίζω,
ὅτι δρακόντων στόματα τανῦν ἐρρύσατό σε
καὶ δέσποιναν κατέστησεν τῶν δράκοντος χρημάτων
καὶ συνεδουλογράφησεν κἀμὲ μετὰ τῶν ἄλλων
εἰς δουλοσύνην φοβερὰν ὅλην μου τὴν καρδίαν. »
Ἡ δὲ μικρὸν στενάξασα ἀντεῖπε πρὸς ἐκεῖνον·
« Κἂν ἀπὸ τούτου γνώρισε τὴν δυστυχῆν μου μοῖραν
ὅπως οὐδὲν ἐρρύσατο τὸ δυστυχὲς καθόλου,
ἀλλὰ καὶ σὲ μετέπλασεν πρὸς σιδηρᾶν καρδίαν,
πρὸς ἀδαμάντινον ψυχὴν καὶ πρὸς πετρίνην γνώμην·
καὶ βλέπεις τόσας μου πληγὰς τῶν δυστυχῶν μελῶν μου
καὶ μᾶλλον πρὸς σκληρότηταν ἐπάγεις τὴν ψυχήν μου.
Ομως ἐγὼ τὴν τύχην μου καὶ τὴν τῆς τύχης μάχην
καὶ τὸν τῆς τύχης πόλεμον καὶ τὴν κακίστην γνώμην
ἀπὸ πολλῶν ἐγνώρισα καὶ σὲ μὴ κατακρίνω
πῶς μεταπλάττει καὶ τὴν σὴν βασιλικὴν καρδίαν
εἰς πλάσιν ἄλλην σιδηρᾶν, εἰς ἀσπλαγχνώδη φύσιν. »
Καὶ μετὰ λόγους ἱκανοὺς ἦλθον εἰς ἄλλους λόγους,
εἰς γλυκοτέρους καὶ καλοὺς ὡσὰν μαλθακωτέρους.
Τὰ δὲ ἐν μέσῳ τοῦ καιροῦ | κατὰ λεπτὸν οὐ γράφω· (F.17,a.)
εἰς μῆκος φέρει τὴν γραφήν, τὸ μῆκος ἔχει κόρον.
Λοιπὸν καὶ παραδράμωμεν τὰς περισσολογίας.
Μετὰ γοῦν χρόνον ἱκανόν, μετὰ πολλὰς ἡμέρας

735. μηρογράφημα. καταρασαι. — 736. καλόν. — 738. ὅτι. ἐρίσατό. — 739. δέσπινα κατέστισεν. — 740. καμὲ. — 741. δλην. — 742. ἡδὲ μηκρὸν. ἀντίπε. — 743. ἀποτούτου γνώρησε. δυστιχήν. μοίραν. — 744. ὅπως. ἐρύσατο. δυστιγὲς. — 745. προςσιδηρὰν. — 746. προς. γνώμιν. — 747. βλέπης. δυστιχῶν. — 748. μάλλον προς. ἐπάγης. — 749. ὅμως. — 750. Ce vers est écrit dans le ms. après le vers 751. — 751. ἀποπ. ἐγνώρησα. κατακρύνω. — 753. συδειρὰν. — 754. μεταλ. ἱκανούς. — 755. ὡς ἂν μαλθακοστέρους. — 756. τὰ δ' ἐν. σοι. — 757. μήκος. μοίκος. — 758. παραδράμομεν τα περισολλογίας. — 759. μεταγοῦν. ἱκανόν. μεταπολλᾶς ἡμέρας.

συνῆλθον εἰς τὸ θέλημα τῆς συνομοψυχίας
καὶ συνεκαρδιώθησαν μετὰ δεσμῶν ἀλύτων,
ὅρκῳ τὸν πόθον δήσαντες καλῶς φρικωδεστάτῳ.
Ἔρως παρὼν ὁ βασιλεὺς εἰς τοὺς ἐκείνων λόγους
αὐτὸς τοὺς ὅρκους δέχεται καὶ τὰς συνθήκας γράφει
καὶ φύλαξ μέσον τίθεται τῶν συνθηκῶν ἐκείνων.
Τὸ κάλλος γοῦν τὸ φυσικὸν ἀνέλαμπε τῆς κόρης,
ἐπεὶ παρῆλθε παντελῶς τὰς δρακοντοκακώσεις.
Μετὰ γοῦν ἄλλα τὰ πολλὰ τῶν ἐρωτοχαρίτων,
ὅσα μανθάνει φυσικῶς ἐρωτικὴ καρδία,
ἐσέβησαν εἰς τὸ λουτρὸν, ἐλούθησαν ἐκεῖνοι.
Καὶ τοῦ λουτροῦ τὰς ἡδονὰς καὶ τὰς ἐν τούτῳ χάρεις
ἡ γλῶσσα μόνη δύνεται τῆς Ἀφροδίτης λέγειν·
χεὶρ δ' ἀνθρωπίνη καὶ θνητὴ καὶ κάλαμος ἐνταῦτῳ
λέγειν καὶ γράφειν ἡδονὰς τοσαύτας οὐκ ἰσχύσει,
ὅπως τῆς κόρης τὰς πληγὰς ἐμάλασσεν ἐκεῖνος
καὶ δροσισμὸν ἀπόρρητον ἐκ τῶν μωλώπων εἶχεν
καὶ γλυκασμὸν καὶ δροσισμὸν ἐκ φιλημάτων εἶχεν
καὶ κόρον οὐκ ἐλάμβανε τῶν ἡδονῶν τῆς κόρης. | (F.17,b.)

Ὅρκοις τὸν πόθον δήνουσιν δεινοῖς, φρικωδεστάτοις
ἔμπροσθεν εἰς τὸν Ἔρωταν, τὸν φοβερὸν δυνάστην.

Ἔβλεπε, βλέπων ἡδονῆς φύλλον γλυκὺν ἐτρύγα
ὑπάτης καὶ γλυκύτερον πάντων τῶν γλυκυτέρων.
Ὁ χρόνος ὃν εἰς τὸ λουτρὸν ἐχάρησαν ἀπέσω
εἶδε χαρὰν ἀνέκφραστον, ἄλλο τι πρᾶγμα μόνος,

760. συνήλθον. — 761. μετα. — 762. δρκον. φρικωδεστάτως. — 763. ἔρων. ὁ. — 764. αυτὸς. — 766. χάλος. — 767. παρήλθε. δρακωντοκ. — 768. μεταγοῦν. ἐροτοχαρίτων. — 769. ἐρωτηκή. — 770. ἐκείνοι. — 771. ἡδονὰς. — 772. γλώσσα. — 773. ἐνταύτη. — 774. ὑδωνὰς τόσαύτας. εἰσχύσει. — 775. κώρης. ἐμάλασεν. — 776. ἀπόρητον. μολώπων εἶχεν. — 777. εἶχεν. — 778. οὐκελάμβανε. ἡδονῶν. κώρης. — 779. δρχοις. φρικοδεστάτοις. — 780. δινάστην. — 781. ἡδονῆς φύλον γλυκὴν ἐτρίγα. — 782. εἶπα τί. γλυκήτερον. γλυκητέρων. — 783. χρώνος ἅ. ἐχάρισαι. — 784. οἶδε. ἄλλό. πράγμα.

Σὺν Χρυσορρόη τῇ καλῇ Καλλίμαχος ὁ νέος
τρυφῶσι, συνευφραίνονται καὶ χαίρουνται ἐντάμα.

καὶ Χάριτες ἐδούλευσαν τὰ τῆς ὑπηρεσίας
καὶ συνελούσθησαν ἐκεῖ μετὰ τῆς κόρης τότε
καὶ τὰς ἐρωτοχάριτας ἅπας ἐξεθαμβήθη.
Τίς γοῦν [ποτε] καὶ ποταπὴ γλῶσσα τὴν χάριν εἴπῃ;
οὐδεὶς τοσαύτας χάριτας ἀπαριθμήσει λέγων·
ἀλλ' ἂν πολλάκις ἔτυχες εἰς τὸ λουτρὸν ἐκεῖνον,
ἄλλην μεγάλην ἡδονὴν καὶ ξένην εἶδες τότε.
Οὕτως τὸ σῶμα πάντερπνον εἰς τοῦ λουτροῦ τὴν χάριν·
σῶμα καὶ γὰρ πανεύγενον καὶ χρυσταλλώδης σάρκα
τὴν χάριν καὶ τὴν ἡδονὴν εἰς τὸ λουτρὸν αὐξάνει.
Ἐξέβηκαν ἐκ τοῦ λουτροῦ· εἰς τοῦ λουτροῦ τὰ χείλη
εὑρέθη (τὸ) στρῶμα κείμενον ἐπὶ τῆς γῆς στρωμένον.
Τὸν τοῦ λουτροῦ τὸν ποταμὸν ὁλόχρυσον ἂν εἴποις,
ἀλλὰ καὶ τί πρὸς τὸν χρυσὸν ἡ καλλονὴ τοῦ πάτου;
Εὑρέθη στρῶμαν κείμενον, ἀλλὰ πολλὰ ποικίλον
ὅπερ ἀπὸ τοῦ σώματος αὐτῆς ἐχαριτώθην·
καὶ τὰς | ἐκεῖθεν ἡδονὰς τὰς οὔσας ἐν τῷ στρώμα (F. 18, a.)
τίς εἴπῃ, τίς ἐξηγηθῇ καὶ τίς λεπτολογήσει;
Ἦσαν λοιπὸν οἱ βασιλεῖς τοῦ χρυσοκάστρου τούτου
ζῶντες μεθ' ὅσης ἡδονῆς, μετὰ χαρίτων τόσων.

785. συν. — 786. συνεφρένονται. — 787. χάριτας. ὑπιρεσίας. — 788. ἐκεὶ. — 789. ἐροτοχάριτας. ἐξεθαμβήθει. — 790. γλώσσα. εἴπει. — 791. τόσαύτας. — 792. ἀλλὰ πολάκις ἔτιγεν. — 793. Ce vers vient, dans le manuscrit, après le vers suivant. ἡδονὴν. εἴδες. — 794. οὔτως. — 795. σώμα. πανευγενον. χρισταλώδες. — 796. αὐξάνειν. — 797. χεῖλει. — 798. εὑρέθει. στρόμα. ὑπὸ. στρομένον. — 799. ὕπης. — 800. τοῦ χρουσοῦ τὴν καλονὴν. — 801. εὑρέθη στρόμαν κήμενον. ποικήλον. — 803. ἡδονὰς. στρόμα. — 804. εἴποι. ἐξηγηθεῖ. — 805. βασιλεὶς. — 806. ζώντες μεθ' οὔσης Bk. ἡδονῆς μετα.

Εκφρασις πανεξαίρετος κόρης τῆς Χρυσορρόης.

Ἦν γὰρ ἡ κόρη πάντερπνος, ἐρωτοφορουμένη,
ἀσύγκριτος τὰς ἡδονάς, τὸ κάλλος ὑπὲρ λόγον,
τὰς χάριτας ὑπὲρ αὐτὴν τὴν τῶν χαρίτων φύσιν.
Βοστρύχους εἶχεν ποταμούς, ἐρωτικοὺς πλοκάμους·
εἶχεν ὁ βόστρυχος αὐγὴν εἰς κεφαλὴν τῆς κόρης,
ἀπέστιλβεν ὑπὲρ χρυσῆν ἀκτῖναν τοῦ ἡλίου.
Σῶμα λευκὸν ὑπὲρ αὐτὴν τὴν τοῦ κρυστάλλου φύσιν·
ὑπέκλεπτεν τοὺς ὀφθαλμοὺς τοῦ σώματος ἡ χάρις.
Ἐδόκει γὰρ σὺν τῷ λευκῷ καὶ ῥόδου χάριν ἔχειν.
Ἂν μόνον ἀνενδράνισες, τὸ πρόσωπον ἂν εἶδες,
ἐσείσθης ὅλην σου ψυχήν, ὅλην σου τὴν καρδίαν·
ἁπλῶς τὴν κόρην ἄγαλμα τῆς Ἀφροδίτης εἶπες
καὶ πάσης ἄλλης ἡδονῆς ὅσας ὁ νοῦς συμπλέκει.
Τί δὲ πολλὰ πολυλογῶ, τί δὲ πολλὰ καὶ γράφω
τάχα πρὸς τὸν καλλωπισμὸν τοῦ σώματος τῆς κόρης;
λόγος μικρὸς ἂν ἐξαρκῇ πρὸς τὸ νά το δηλώσῃ·
ὅσας ὁ κόσμος ἔφερε γυναῖκας εἰς τὸ μέσον
καὶ πρὸ αὐτῆς καὶ μετ' αὐτὴν καὶ τότε ὅσαι ἦσαν
ὡς πρὸς τὰς χάριτας αὐτῆς μιμῶ πρὸς Ἀφροδίτην.|(F. 18, b.)
Μετὰ γοῦν ἐρωτοτριβὰς πολλοῦ καιροῦ καὶ χρόνου
εἰς δειλινὸν ἐαρινὸν ἐξ ὕπνου καὶ χαρίτων

807. πανεξέραιτος. — 809. ἡδονάς. κάλος ὑπερ. — 810. χάρητας ὑπερ. — 811. βοστρίχους εἶχεν. — 812. εἶχεν. βόστριχος. — 813. ἀπέστηλβεν. χρυσὴν ἀκτίναν. ἰλήου. — 814. σώμα. ὑπερ. χριστάλου. — 815. ὑπέκλεπτεν. ἡ. — 816. συντῶ. — 817. ἀνενδράνησες. ἀνἶδες. — 818. ἐσύσθης ὅλην. ὅλην αὐτήν. — 819. ἀπλῶς. κόριν. εἴπες. — 820. ἄλης ἡδονῆς. νοὺς. — 821. πολὰ πολήλογῶ. — 822. προςτὸν καλοπισμὸν. — 823. ἐξαρκεῖ. τὸνατοδηλώσει. — 824. ὁ. — 825. προ. μεταὐτῆς. ὅσαι ἦσαν. — 826. μημῶ. ἀφρωδίτην. — 827. μεταγοῦν ἐροτοτριβὰς πολοῦ. — 828. διλῆνὸν. ὕπνου.

Τὴν ἐκ τοῦ κάστρου πρόκυψιν ὁ λόγος σαφηνίζει.

ἀνέστησαν, παρέκυψαν ἀπὸ τοῦ κάστρου μόνοι.
Ἦτον νησίτζιν εὔμορφον εἰς παραποταμίαν·
ὁ τόπος εἶχεν χάριτας παράξενας ἐκεῖνος·
ἔγεμεν ἄνθη κόκκινα, παντοδαπὰ, ποικίλα.
Εἶπες ἐκείνην τὴν βαφὴν ὡς τὸ τοῦ ῥόδου φύλλον,
βαφὴν παιδὸς ἐρωτικοῦ, τῆς Ἀφροδίτης αἷμα.
Εἶδον ἐκεῖνο τὸ καλὸν, ἐθαύμασαν τὸν τόπον,
καὶ μᾶλλον ὅτι καὶ πνοὴν ἀπὸ τὸν τόπον τοῦτον
ὁ πνέων τότε ζέφυρος μετέφερεν εὐώδη.
Τοῦτον τὸν τόπον βλέποντες ἅπαξ τῆς ἑβδομάδος
εἶχαν ψυχῶν ἀνασασμὸν καὶ τέρψιν οὐκ ὀλίγην.

Ναὶ μοιρογράφημα κακὸν, ναὶ μαινομένη τύχη
τὴν ὄρεξίν σου πλήρωσε, ποῖσε τὸ θέλημά σου.

Ἀλλ' ὅπερ φέρει τὸ γλυκὺν φέρει καὶ τὴν πικρίαν,
ὡς ἔγνωκας, ὡς ἔμαθες ἀπὸ τοῦ προοιμίου.
Ἄκουσε τὴν ὑπόθεσιν τοῦ λόγου καὶ νὰ μάθῃς.
Ἄλλος ὀκάτι βασιλεὺς εὐγενικὸς καὶ μέγας,
εἰς πλοῦτον ὑπεράπειρος, εἰς στράτευμα φουσσάτου
ὅσον καὶ ψάμμον ἀριθμὸς δύναται νὰ μετρήσῃ·
ἂν δ' ἦλθες εἰς ἀνατροφὴν αὐτοῦ τῆς ἡλικίας,
προσώπου|τὴν φαιδρότηταν, δύναμιν τῶν χειρῶν του, (F. 19, a.)
οὐκ οἶδα πῶς συνέκρινας τοῦτον εἰς ἄλλον ἕναν.

829. ὀ. — 830. παρέκηψαν. — 831. ἧτον νησίτζην. παραποταμήαν. — 832. ἧγεν. — 833. κόκηνα. — 834. εἶπες. εἰς. φύλον. — 835. σποδὸς. (ποδὸς Bk.) ἀφρωδήτης αἶμα. — 836. εἶδον ἐκείνο. — 837. μάλλον ὅτι. πνωὴν. τούτον. — 838. ὀ. ζέφηρος. ευώδη. — 839. τούτον. ἄπαξ. εὐδομάδος. — 840. εἶχαν. οὐκολίγην. — 842. ποίησε. — 843. γλυκὴν. πικρήαν. — 844. ἀποτοῦ προημίου. — 845. ὑπόθεσιν. να. — 846. ἄλος. — 847. πλούτον ὑπεράπηρος. — 848. ὅσον. ψάμον. ναμετρίσει. — 849. ἦλθες. ἡλικίας. — 850. πρωσόπου. φεδρότηταν. — 851. οἶδα. τούτον. ἕναν.

Ἀλλ' ἦτον ἄζυξ, ἄγαμος, ἐλεύθερος καθόλου,
μόνον πρὸς κυνηγέσια καὶ πρὸς ἀνδραγαθίας
καὶ πρὸς πολέμων συμπλοκὰς ἀκράτητος ὑπῆρχεν.
Μετὰ τῶν ἄλλων ἤθελεν παντοτεινὰ νὰ βλέπη
τόπους καὶ χώρας καὶ βουνοὺς καὶ ποταμοὺς καὶ βρύσας,
βράχη [καὶ] κάμπους, σπήλαια, κτίσματα τῶν Ἑλλήνων.
Ἤρχετο λέγειν πρὸς αὐτὸν ὅστις πολλάκις εἶδεν
χώρας, πολέμους, θαύματα, ξενόχρους ἀφηγήσεις.
Πλεῖστον ἐν τούτοις ἔχαιρεν. Εἰ δ' ὁ καιρός, οὐκ οἶδα,
[ἢ] τίνος μοιρογράφημα ἢ κύλισμα τοῦ χρόνου
ἢ τίνος τὸ δυστύχημαν ἢ ἁπλῶς εἰπεῖν οὐκ οἶδα
τοῦτον ἐπῆρεν, ἔφερεν πρὸς δράκοντος τὸ κάστρον,
καὶ πρὸς τὸν ἐρημότοπον, πλὴν ἀπὸ τὰ μακρόθεν.

Τοῦτον ἐπῆρεν, ἔφερεν εἰς τὸ χρυσὸν τὸ κάστρον.

Ἦλθαν, μακρὰν ἐστάθησαν οἱ τοῦ φουσσάτου πρῶτοι,
οἱ προπομποὶ καὶ πρόοδοι καὶ πρόμαχοι τῶν ἄλλων.
Εἶδον τοῦ κάστρου τὸ λαμπρὸν ἀστράπτον ὥςπερ ἄστρον,
ὥςπερ αὐτὸν τὸν ἥλιον ἐν τῷ καιρῷ τοῦ φέγγους.
Εὐθὺς μαντάτον πέμπουσιν ὡς πρὸς τὸν βασιλέαν·
« ἂν ἔλθῃς, ἴδῃς, βασιλεῦ, τὸ λέγουν πρᾶγμα μέγαν. »
Ἔδραμεν, ἦλθεν, ἔφθασεν | ὁ βασιλεύς· ἐστάθην, (F. 19, b.)
εἶδεν, ὑπερεθαύμασεν ἱστάμενος μακρόθεν.
Ὁρίζει καὶ συνάγονται ἅπαντες πρὸς ἐκεῖνον.
« Ὁ τόπος, ⊥ υ λέγουν τον, ἂς γένηται κατούνα.

852. εἴττον. — 853. προσ. προς. — 854. ὑπήρχεν. — 855. μετα. πάντοτε καὶ ναβλέπει. — 857. βράχυ. σπίλαια. ἐλλήνων.— 858. ὕστις πολάκις εἶδεν. — 859. ἀφυγήσεις. — 860. ἤτον ἔν. ἔχερεν. — 861. μοιρογράφυμα. κύλισμα. χρώνου.— 862. δυστίχημαν. ἁπλῶς. είδα. — 863. τούτον ἐπήρεν. — 864. ἐριμότοπον πλῆν ἀποταμ. — 865. τούτον ἐπείρεν. Le vers est écrit dans le manuscrit à la suite. — 866. πρώτου.— 867. πρωπομποὶ. — 868. εἶδον. ἀστράπτων. — 869. ὥσπερ. ἥλιον. — 871. βασιλεὺ. τὸ. Ce n'est pas nécessaire d'écrire τὸν. πράγμα. — 873. εἴδεν υπερὲθαύμασεν ἱστάμενος. — 874. ὀρίζει. ἅπαντες. — 875. ὀ. ἀς. Si le mot qui manque

Ἔχει δενδρὰ [καὶ] ποταμόν, ἔχει λιβάδιν μέγαν,
ἔχει καὶ δάσωμα καλὸν πρὸς τὸ νὰ σκεπαστοῦσιν
ἄνθρωποι ξένοι ζητηταὶ καὶ δράκται καὶ χρουσάροι,

Ναὶ μοιρογράφημα κακόν, ναὶ μαινομένη τύχη.

καθὼς ἡμεῖς τὴν σήμερον πάντες περιπατοῦμεν.
Ἐγὼ δὲ μόνος καὶ μὲ τρεῖς ἄλλους καβαλλαρίους
ἔλθω, σιμώσω πρὸς αὐτό, ὡς δυνηθῶ, τὸ κάστρον.
Ἄνθρωπον εὕρω τὸν τυχών, ἀνερωτήσω τοῦτον,
ἢ ἂν πολλάκις κρατηθῶ πρὸς δεύτερον ἡμέραν,
πρὸς τρίτον ἢ πρὸς τέταρτον κανεὶς μηδὲ σπαράξῃ
πρὸς ἔταξιν, μὴ παρεκβῇ κανεὶς ἀπὸ τὸν λόγον
καὶ τὸ σπαθίν μου γένηται θάνατος ἰδικός του.
Κἂν δ' ἴσως καὶ πληρώσουσιν αἱ τέσσαρες ἡμέραις,
τότε καβαλλικεύσετε, τότε γυρεύσετέ με,
ὡς ἠμπορεῖτε ποίσετε νὰ μάθετε τὸ κρεῖττον. »
Εἶπεν, εὐθὺς ἐκίνησεν, ὑπάγει πρὸς τὸ κάστρον,
στράταν οὐδὲν ἐκράτησεν· ὁ τόπος γὰρ οὐκ εἶχεν·
ἀλλ' ὑποκάτω τῶν δενδρῶν κρυπτόμενος ἀπῆγεν.
Καὶ ὡς οὖν πλησίον ἔφθασεν τοῦ χρυσοκάστρου ἐκείνου,
εὗρεν ὀλίγον δάσωμαν, ἐπέζευσεν ἀπίσω.
Ἡμέρας ἦτον πλήρωμα, | δύσις ἡ τοῦ ἡλίου, (F. 20, a.)
τῆς δὲ νυκτὸς ἦν ἀπαρχὴ καὶ γέννα τῆς σελήνης.

dans le manuscrit n'est le nom du pays, il faudrait peut-être écrire λέγει των. — 876. δένδρα. λιβάδην. — 877. δάσομα. τονασκεπαστούσιν. — 878. ζιτηταὶ. — 880. σύμερον. περιπατούμεν. — 881. μετροῖς. καβαλαρίους. — 883. ἀνθρωπου εὕρω. ἄνὲρωτίσω τούτον. — 884. εἴ. πολάκις κρατιθῶ. ἡμέραν. — 885. κἀνεἰς. σπαράξει. — 886. Il ne faut pas écrire προσέταξεν. V. le glossaire s. v. ἔταξις. — 887. σπαθήν. — 888. δίσως. αἱ τέσσαραις ἡμέραις. — 889. καβαλικεύσεται. γιρεύσετέ με. — 890. ἠμπορίται ποίσεται ναμάθετε. κρίττον. — 891. εἶπεν. ἐκήνισεν ὑπάγει. — 892. ἐκράτισεν ὁ. οὐκήχεν. — 893. κριπτόμενος ἀπήγεν. — 894. πλισήον. — 895. εὗρεν ὀλύγον δάσομαν. — 896. ἡμέρας ἥττον. ἡ. ἡλίου. — 897. νιντὸς. γένα.

Τοὺς δύο δίδει τἄλογα, λέγει τους νὰ προσέχουν,
αὐτὸς ἐπαίρνει σύντροφον τὸν ἕναν ἀπ' ἐκείνους·
τὴν ὅλην νύκταν ἔδραμεν τὸν γῦρον τὸν τοῦ κάστρου.
Φωνὴν ἢ βίγλας ὄχλησιν οὐκ ἤκουσε καθόλου,
ἀλλὰ πρὸς τὸ συμπλήρωμαν ἀπάρτι τὸ τῆς νύκτας
ἔφθασεν, ηὕρηκεν εὐθὺς τὰς πόρτας τὰς τοῦ κάστρου,
τοὺς δράκοντας ἐτήρησεν, τοὺς ὄφεις τοὺς μεγάλους,
τοὺς ἀνυστάκτους φύλακας, τοὺς πυλωροὺς ἐκείνους.
Ἐκπλήττεται καὶ πρὸς φυγὴν ὥρμησεν παραυτίκα.
Ὑπᾷ πρὸς τοὺς συντρόφους του, λέγει τους φοβισμένα
τὰς πόρτας καὶ τοὺς φύλακας τοὺς εἶδεν εἰς ἐκείνας.
Δίδουν βουλὴν νὰ καρτεροῦν τὴν δεύτερον ἡμέραν,
« ἂν τύχῃ, λέγουν, νὰ φανῇ κανεὶς ἀπὸ τὸ κάστρον.
'Σ αὐτὸν τὸ κάστρον τὸ λαμπρόν, ὃ βλέπομεν, δοκεῖ μας
ἀνθρώπων μένει σύστημα πάντως αἰσθανομένων·
εἰ δ' ἴσως ἔνι δράκοντες ἀπέσω καὶ θηρία,
καθὼς ἐκείνους εἴδαμεν τοὺς φύλακας τῆς πόρτας,
τὸ κάστρον ὅλον ἄπορον χωρὶς ψυχῆς ἀνθρώπου,
ξένης ἐτοῦτο φύσεως. Ὅμως ἂς καρτεροῦμεν. »
Ἀλλὰ καὶ πάλιν ἔμειναν ἔσω τοῦ τόπου τούτου.
Ἔφθασεν, ἦλθε τὸ λοιπὸν καὶ τρίτος ἡ ἡμέρα,
| ἀνέτειλεν ὁ ἥλιος, ἦλθε πρὸς μεσημβρίαν· (F. 20, b.)
ἀλλ' ὥρᾳ πρὸς τὸ δειλινόν, ὥρᾳ τοῦ καταψύχου
ἐβλέπει παρακύπτουσαν τὴν κόρην ἐκ τοῦ κάστρου
μετὰ λαμπροῦ τοῦ σχήματος, μετὰ λαμπροῦ τοῦ τρόπου·
πλὴν οὐχὶ μόνην εὕρηκεν, πλὴν οὐχὶ μόνην εἶδεν,

898. τάλογα. να. — 899. ἐπέρνει. ἕναν ἀπεκείνους. — 900. ὄλην νίκταν. γύρον. — 901. ὄχλιστην. οἴκουσε. — 902. το. νίκτας. — 903. εὔθασεν. ηὔριχεν. — 904. ἐτύρισεν. — 905. ἀνηστάκτους φίλακας. — 906. προς. ὄρμησεν. — 907. εἰπὰ. φωβησμένα. — 908. εἴδεν. — 909. να. — 910. ναφανεῖ. — 911. μαυτὸν. βλέπωμεν δωκή. — 912. σύστιμα. — 913. δράκωντες. — 914. ἴδαμεν. φίλακας. — 915. ὅλον. — 916. ἐτούτο. ὅμως ἂς καρτερούμεν. — 918. (Bk. propose τρίτως, mais voyez le glossaire, s. v. ἡμέρα). ἡμέρα. — 919. ἀνέτηλεν ὁ ἥλιος. προςμεσυμβρίαν. — 920. ἀλλῶρα. προς. δυλινὸν ὥρα. — 921. παρακήπτουσαν. — 923. οὐχη (*bis*). εὕριχεν.

ἀλλὰ συνεπαράκυπτεν ἐκεῖνος μετ' ἐκείνης,
ὁ καὶ τοῦ κάστρου βασιλεὺς καὶ τῆς δεσποίνης δοῦλος
καὶ τῶν χαρίτων κηπουρός, τῆς καλλονῆς δραγάτης
καὶ τρυγητὴς τῶν ἡδονῶν τῆς ἀσυγκρίτου κόρης.
Εὐθὺς οὖν ἔρως εἰς αὐτὸν τῆς γυναικὸς ἐσέβην
ὡς μηδὲ ζῆν μηδ' ἀναπνεῖν, εἰ μὴ τὴν κόρην ἔχειν.
Οὕτως τὸ κάλλος κάμινον εἰς τοὺς αἰσθανομένους
. . . .
καὶ δύναται δουλογραφεῖν ἐξ ὀφθαλμῶν καὶ μόνον.
Αἴσθησιν οὖν καὶ λογισμὸν καὶ φρένας καὶ καρδίαν
ἐκεῖνος μὲν ἐξ ἔρωτος ἐκατεπολεμήθην
καὶ τὴν ψυχὴν τὴν ἰσχυρὰν ἐκατελύθην τότε,
ἄπνους νεκρὸς εὑρέθηκεν, ὅλος ἀποθαμμένος.
Ὁκάποτε ἐπανέφερε μετὰ πολλῆς τῆς βίας,
ἐβράδυνεν, ἐνύκτωσεν, ἐξέβην ἡ σελήνη,
ἐπῆρεν τοὺς στρατιώτας του, φθάνει πρὸς τὸ φουσσάτον,
φθάνει κακῶς ἀναισθητῶν, ὅμως ἂς εἴπω φθάνει.

Φθάνει τῆς μοίρας τὸ πικρὸν τῆς κακοτυχημένης.

Ὅμως ὡς ἔφθασεν ἐκεῖ, ὡς εἶδεν | τὸ φουσσάτον (F. 21, a.)
καὶ τὸ φουσσάτον ἔβλεψεν τὸν αὐτοκράτοράν του,
ἀναρωτοῦν νὰ μάθουσιν ἐκεῖνοι πρὸς τοὺς ἄλλους
αὐτοὺς τοὺς συνοδεύσαντας τῷ βασιλεῖ. Πρὸς τούτους
λέγουν τοῦ κάστρου τὸ λαμπρὸν καὶ τὴν ἰσχὺν τῶν πύργων,
λέγουν τὸ λιθομάργαρον καὶ τὸν χρυσὸν τοῦ κάστρου,

εἶδεν. — 924. συνεπαράκηπτεν. μετεκείνης. — 925. δεσπήνης δούλος. — 926. κυπουρός. καλωνῆς. — 927. ἡδονῶν. — 928. ἐσέβειν. — 929. μηδεζεῖν μὴδαναπνεῖν. — 930. οὕτως. κάλος κήμενον. — 931. ἐξοφθαλμῶν. — 933. ἐξέρετος ἐκατεπολεμήθειν. — 934. ἐκατελύθειν. — 935. εὑρέθηκεν. ὅλος ἀποθαμένος. — 936. πολῆς. — 937. ἐνίκτοσεν ἐξέβειν ἡ σελίνη. — 938. ἐπίρεν. — 939. καὶ πῶς ἀνεσθητεῖ. ἀς. — 940. κακοτιχημένης. Ce vers est écrit dans le manuscrit à la suite. — 941. ὅμως ὡς. ἐκεῖ. οἶδεν. — 943. να. ἐκεῖνοι. — 944. προςτούτοις. — 946. λυθομάργαρον. τὸ.

λέγουσι καὶ τοὺς φύλακας οὓς εἶδον εἰς τὰς πόρτας,
ἀλλὰ καὶ τὴν ἐξαίρετον ἐκείνην πῶς τὴν εἶδαν
παίζουσαν τὸν Καλλίμαχον, τοῦτον καταφιλοῦσαν,

Ναὶ μοιρογράφημα κακὸν, ναὶ μαινομένη τύχη
πλήρωσε τὸ δυστύχημαν καὶ τὴν κακήν σου γνώμην.

καὶ τέλος πῶς ὁ βασιλεὺς, ὡς εἶδεν, πῶς ἐξέστην
πῶς ἐξεπλάγην, ἔφριξεν, πῶς ἠμαυρώθην ὅλος.
Ὅμως βουλὴν βουλεύεται, κράζει τοὺς ἄρχοντάς του,
λέγει τους πῶς νὰ δυνηθοῦν νὰ καταπολεμήσουν
τὸ κάστρον καὶ τὴν δέσποιναν καὶ πῶς νά την κερδήσουν.
Πάντες τὸ κάστρον ἔκριναν ἀδούλωτον εἰς μάχην,
τοὺς τοίχους καὶ τὸ πύργωμαν ἰδόντες παρὰ φύσιν,
τὸ κάστρον ἀπαράδοτον, πανίσχυρον καὶ μέγα,
ὅλως ἀνεπιβούλευτον, ἀνέλπιστον εἰς νίκην.
Καὶ μᾶλλον ὡσὰν ἤκουσαν τοὺς ὄφεις εἰς τὰς πόρτας
ὡς πυλωροὺς φυλάσσοντας τὰς πύλας τὰς τοῦ | κάστρου (F. 21, b.)
λέγουσιν· « τίς δυνήσεται νὰ μαχησθῇ θηρία;
Ἀλλ' ἂν ὁρίσῃς, δέσποτα, λοιπὸν ἂς βουλευθοῦμεν. »
Ὁρίζει, λέγει πρὸς αὐτούς· « εἰπέτε τὴν βουλήν σας. »
Εἷς ἀπ' ἐκείνους, πρόκριτος εἰς γένος καὶ εἰς χρόνον
ἐστάθην, ἀπεκρίνατο καὶ λέγει πρὸς ἐκεῖνον·
« Ἡμεῖς ὅταν ἐξέβημεν πάντες ἀπὸ τὸ κάστρον
τῆς ἐδικῆς σου τῆς ἀρχῆς καὶ τῆς ἡμῶν πατρίδος
μάχην ποσῶς καὶ πόλεμον οὐδὲν ἐμελετοῦμεν

947. εἶδον. — 948. ἐξέρετον. οἶδαν. — 949. τούτον καταφυλούσαν. — 951. τοδυστήχιμαν. — 952. ὁ. εἶδες. — 953. ἔφρυξεν. ὅλος. — 954. ὅμως. βουλευεται. — 955. να (*bis*). — 956. δέσπηναν. νατὴν. — 957. πάντως. ἀδούλοτον. — 958. τύχούς. πύργομαν ἠδόντες παραφύσιν. — 959. ἀπαράδωτον πανόχηρον. Je pourrais peut-être écrire aussi : πανόχυρον. — 960. ὅλως. — 961. μάλον ὅσον, — 963. να. — 964. ὁρίσης. ἀς βουλευθούμεν. — 965. ὁρίζει. εἶπετε. — 966. εἷς ἀπεκείνους πρόκρητος. — 968. ἡμεῖς. ἀποτὸ. — 969. ἡμῶν. — 970. ἐμελετούμαν.

καὶ νὰ φοροῦμεν ἅρματα, νὰ σύρνωμεν φουσσάτον
ὅσον εἰπεῖν πρὸς πόλεμον, πρὸς μάχην καὶ πρὸς ἔχθραν,
νὰ σύρνωμεν βαρέματα καὶ μηχανὰς καὶ σκεύη.
Ἀλλ' οὕτως ἐξ ἁπλότητος, ὡς καὶ συνήθως εἶχες,
ἐξέβης πρὸς ἀναψυχὴν καὶ παραδιβασμόν σου
καὶ μάλιστα πρὸς τὸν σκοπὸν οὐκ οἶδα πῶς καὶ τοῦτο· (;)
καὶ τόσος ἐπαρέδραμεν καιρὸς περιπατοῦντες
καὶ εἰς τόπον κατηντήσαμεν ἀνέλπιστον καὶ ξένον.
Ἂν γοῦν θελήσῃς πόλεμον καὶ νὰ συνάψῃς μάχην,
ἀπόρως ἔχουν ἅπαντες πρὸς τὸ νὰ μαχησθῶσιν.
Ἀλλ' ἂν ὁρίσῃς, βασιλεῦ, λοιπὸν ἂς γυριστοῦμεν,
ἄγωμεν εἰς τὰ κάστρα σου, συνάξωμεν φουσσάτον,
ἂς κηρυχθῇ πρὸς ἅπαντας, πόλεμον ἔχεις κάστρου·
ζήτησε καὶ συμμαχικὸν ἀπὸ τοὺς γειτονοῦντας,
ἑτοίμασον τὰς μηχανάς, ποίησε | ὅλα πάντα, (F. 22, a.)
καὶ τότε πρὸς τὸν πόλεμον κίνησε τὸν τοῦ κάστρου,
παράπεσε καὶ δεῖρό το καὶ θέλεις το κερδαίσειν
καὶ γογγυσμὸν ἀπό τινος οὐδὲ ποσῶς εὑρήσεις.

Ναὶ μοιρογράφημα κακόν, ναὶ μαινομένη τύχη,
τὸ βουλητὸν ἐκπλήρωσον τῆς σῆς ἀπανθρωπίας.

« Ὅτι τὸ κάστρον, ἔξευρε, μεγάλην μάχην ἔχει.
Βλέπεις τὸ λιθομάργαρον, τὸ τόσον τὸ χρυσάφιν;
ἀνθρώπων ἔνι σύναγμα πολλῶν, ἀναριθμήτων. »
Ἤρεσεν ὅλους ἡ βουλή, πλὴν οὐ τοῦ βασιλέως.

971. ναφορούμεν. να. — 972. ὄσον. — 973. νασύρνομεν. σκεύει. — 974. οὔτως ἐξαπλώτιτος. ἤχες.— 975. παραδιβασμένου.— 976. τούτο. — 978. κατηντίσαμεν. — 979. να. — 980. ἄπαντες. προς. ναμαχησθώσιν. — 981. ἀλλάνὼρίσης. ἀς γυριστούμεν. — 983. ἀς κηριχθῆ. ἄπαντας. ἔχης. — 984. ζήτισε. συμαχηκὸν ἀποτοὺς γητονούντας. — 985. ἐτήμασον. ὅλλα. — 987. παρέπεσε. δήρε. θελης τὸ κερδέσειν. — 988. ἀποτινὸς. οὐδε. εὑρίσης. — 989. ναὶ μοιρογράφημένη τύχη. — 990. το. της. — 991. ὅτι το.— 992. βλέπης. χρησάφην. — 993. ἀναρηθμήτων. — 994. ὅλους ἡ. καὶ τοῦ.

Ὁ βασιλεὺς ἐγύρισεν μετὰ θλιμμένου τρόπου,
μετὰ θλιμμένου λογισμοῦ καὶ θλιβερᾶς καρδίας.

Ἀλλ' εἶχον πάντες ἡδονήν, ἀλλ' εἶχον πάντες τέρψιν,
ὅτι τὸν φόβον ἔφυγον ἐκείνων τῶν θηρίων,
ὅτι καὶ τὰς πατρίδας των ἔμελλον καταλάβειν.
Μόνος αὐτὸς ὁ βασιλεὺς μεγάλην λύπην εἶχεν.
« Κρεῖττόν μοι βρῶσις, ἔλεγεν, νὰ γένω τῶν θηρίων
καὶ τῆς ζωῆς νὰ στερηθῶ παρ' ὃ τῆς κόρης ταύτης. »
Ἀλλ' ὄχι (;)· ἄλλως νὰ γενῇ τὸ πρᾶγμα οὐκ ἠμπόρει.
Ἀλλὰ τῶν λόγων τὴν γραφὴν ἐπέτεινα εἰς πλάτος
καὶ τὸν ἀναγινώσκοντα εἰς βάρος προεθέμην.
Φθάνει λοιπὸν ὁ βασιλεὺς εἰς τὸν ἴδιον τόπον,
στέκεται, λέγει πρὸς αὐτοὺς τοὺς συνακολουθοῦντας·
« Ὑπάγετε πρὸς τὰ κάστρα σας, γοργὸν ἑτοιμαστῆτε
πρὸς τὴν ἀντιπαράταξιν νὰ φθάσετε|τοῦ κάστρου. » (F.22,b.)
Πεζεύουν, προσεκύνησαν, ὑπάγουσιν ἐκεῖνοι.
Αὐτὸς δὲ πάλιν μόνος του καὶ μετὰ τῆς συγκλήτου
πρὸς τὸ παλάτιν ἔρχεται λοιπὸν τὸ ἐδικόν του.
Ἔφθασεν ἄλλος ποταμὸς μὲ πόσην τρικυμίαν,
μὲ πόσην, νὰ εἶπες, μέριμναν, μὲ ποταπὴν φροντίδαν.
Ἡμέρας τρεῖς ἐπλήρωσεν μόνος εἰς τὸ κελλίν του
κατὰ προσώπου κείμενος ἐπάνωθεν τῆς κλίνης.
Γίνεται κλόνος, θόρυβος καὶ συντριβὴ καὶ ζάλη
πρὸς πᾶσαν ἐπικράτησιν αὐτοῦ τῆς αὐθεντίας.

995. ὁ. ἐγήρησεν μεταθλημένου. — 996. θλημένου. θληβερᾶς. — 997. εἶχον. ἠδονήν. εἶχον. — 998. ὅτι. θυρίων. — 999. ὅτι. τον ἔμελον. — 1000. ὁ. ἦχεν. — 1001. κρείττων. βρώσις. να. — 1002. να. παρὸ. — 1003. ἀλλεῖχεν. ναγενεῖ. πράγμα οὐκημπόρει. — 1004. τὸν λόγον τῆς γραφῆς ἀπέτηνα τό. — 1005. ἀναγινόσκοντα. προέθέμειν. — 1006. ὁ. ἴδηον. — 1007. συνακολουθούντας. — 1008. ὑπάγετε. ἐτιμαστήτε. — 1009. να. — 1010. πεζευουν προς ἐκίνησαν. Bk. — 1011. συγγλήτου. — 1013. με. τρικημίαν. — 1014. με (*bis.*) ναῆπες. — 1015. κελίν. — 1016. κήμενος. — 1017. θόριβος. — 1018. πάσαν ἐπικράτισην.

Οἱ μὲν ἐτρικυμίζοντο πρὸς τὴν τοῦ κάστρου μάχην
καὶ πρὸς ἀντιπαράταξιν καὶ συμπλοκὴν πολέμου·
ἁρμάτων ἦτον ἔξαψις καὶ δοκιμὴ φαρίων
καὶ πάντες εἴχασιν ἁπλῶς τὴν περὶ τούτου ζάλην.
Τὸ κρεῖττον δὲ καὶ λόγιμον ἐκ τῶν ἀρχόντων ὅλων
εἶχε μὲν καὶ τὴν συντριβὴν αὐτὴν τὴν τοῦ πολέμου,
ἀλλ' εἶχον καὶ περίλυπον βασιλικὸν τὸ πάθος.
Τί τὸ λοιπὸν ἐγένετο; Συνάγονται οἱ πάντες,
προσέρχουνται τῷ βασιλεῖ καὶ λέγουν πρὸς ἐκεῖνον
μετὰ σεμνοῦ τοῦ σχήματος καὶ γλυκυτέρων λόγων·
« Καλὸν μὲν οὖν, ὦ βασιλεῦ, τοῦτο πρὸ πάντων ἄλλων
τὸ μὴ πεσεῖν εἰς μέριμναν ἐρωτικὴν τὸν νοῦ σου.
Ἐπεὶ δὲ τοῦτο γέγονεν, ἀνατροπὴν οὐκ ἔχει, | (F. 23, a.)
κοινὴν βουλὴν ἂς εἴπωμεν, ἂν ἔνε θελητόν σου,
πῶς καὶ γενοῦμεν ἐγκρατεῖς τοῦ κάστρου καὶ τῆς κόρης.
Ἔνι τὸ κάστρον ὀχυρόν· ὄφεις αὐτὸ φυλάσσουν.
Προσέχωμεν· ἀπὸ σκοποῦ μετοίκησις δρακόντων
ἢ τῶν δαιμόνων σύναγμα ἐντὸς τοῦ κάστρου μένει.
Ἂν γοῦν μὲ κάστρον εἴχαμεν ἀνθρώπινον τὴν μάχην,
δύναται τὸ φουσσάτο μας νὰ καταπολεμήσῃ
καὶ νὰ νικήσῃ πρὸς παντὸς (;) χωρὶς ἀντιλογίας·
πρὸς δὲ δρακόντων πόλεμον ἢ τῶν δαιμόνων μάχην
ἀδυνατεῖ πᾶς ἄνθρωπος νὰ καταπολεμήσῃ. »
Ἐπλήρωσαν τοὺς λόγους των, ἐσίγησαν οἱ πάντες
« ἂν τύχῃ, λέγοντες εἰς νοῦν, ὁ βασιλεὺς διστάζει ».
Ὡς δ' εἶχεν ἀμετάθετον ἐκεῖνος τὸν σκοπόν του
καὶ κρεῖττον εἶχεν τὸ θανεῖν παρὰ καιρόν, παρ' ὥραν

1019. ἐτρικημείζοντο. — 1021. ἤτων. — 1022. ἀπλῶς. — 1023. κρίττον. λογισμὸν τὸν τῶν. ὄλλων. — 1024. εἶχε. — 1026. οἱ. — 1028. μετα. γλυκητέρων. — 1029. τούτο προπάντων. — 1031. ανατροπὴν οὐκέχει. — 1032. ἂς. ἀνέναι. — 1033. γενούμεν. — 1034. ὠχηρὸν. φυλάσουν. — 1035. ἀποςκοποῦ. — 1037. με. — 1038. δίναται. νακαταπολεμήσει. — 1039. νανικήσει. — 1040. προς. — 1041. νακαταπολεμίσει. — 1042. οἱ. — 1043. ἀντίχη. — 1044. ὡς. εἴχεν. ἐκεῖνος. — 1045. κρίττον εἴχεν. παραкαιρὸν παρώραν.

ἢ τὸν τῆς κόρης ἔρωταν ἁπλῶς ὑστερηθῆναι,
ἄλλην βουλὴν βουλεύονται. Συμμαχικὸν συνάγει,
τοὺς στρατιώτας ἀριθμεῖ, τὰς παρατάξεις γράφει,
ἐπιχειρεῖ τὴν κίνησιν, ἐπιχειρεῖ τὴν μάχην,
συγκοινωνὸν καὶ τῆς ἀρχῆς, συγκοινωνὸν τοῦ ἔργου
χρησάμενος τὸν θησαυρόν, τὸ πλῆθος τῶν χρημάτων,
τὸν ὑπηρέτην τοῦ καλοῦ καὶ τηλικούτου ἔργου.
Ἀλλὰ πρὸς δρακοντόκαστρον, πρὸς ἀντιδίκους ὄφεις
καὶ τείχους ὕψος ἄμετρον, | μηδ' ἀπὸ πέτρας τεῖχος, (F.23, b.)
πάντες ἀπαγορεύουσιν, τὸν πόλεμον ὀκνοῦσιν
καὶ φεύγουσιν τὰς συμβουλὰς καὶ ἀποχωροῦν τῆς μάχης.
Λοιπὸν νεκρὸς ὁ βασιλεὺς ἐξ ἐρωτοληψίας
καὶ παντελῶς ἀναίσθητος ἐκ τῆς ἀπελπισίας,
καὶ παραιτεῖτο τὴν ἀρχὴν ἐκ τῆς ἀποτυχίας.
Ἀλλ' ἵνα μᾶλλον διελθῶ πολὺ τῆς ἱστορίας,
πρὸς ἀκριβῆ συνείκασιν τῶν ἀναγινωσκόντων
ἅπασαν τὴν ὑπόθεσιν λεπτῶς στιχογραφήσω.

Ναὶ μοιρογράφημα κακόν, καὶ μαινομένη τύχη,
ποῖσε τὸ θέλεις, ποῖσέ το καὶ ἐξοπλήρωσέ το.

Ἀρχὴ τῆς ὑποθέσεως τῆς κακομάγου γραίας.
Γυνὴ γάρ τις πολύπειρος καὶ δαιμονώδης φύσις,
στοιχοκρατοῦσα μαγικῶς, ἀστρολογοσκοποῦσα,
ὡς ἤκουσεν, ὡς ἔμαθεν περὶ τοῦ βασιλέως,
τὸ δεκανίκιν της κρατεῖ καὶ εἰς τὸ παλάτιν φθάνει.

1046. ἁπλῶς ὑστερηθήναι. — 1047. συμαχικὸν. — 1049. ἐπιχειρὶ. κίνησην. ἐπιχηρεῖ. — 1050. συγκυνονὸν. συγκυνωνὸν. — 1051. χρησάμενον. θυσαυρὸν. πλήθος. — 1052. ὑπηρέτην. τιληκούτου. — 1053. ἀντιδήκους. — 1054. τοίχους ὕψος. ἀποπέτρας τείχος. — 1055. ἀπαγορευουσιν. ὀκνούσιν. — 1056. προκαιροῦ τῆς μ. — 1057. ἐξερ. — 1058. ἀνέσθητος. — 1059. παραιτῆτο. ἀποτιχίας. — 1060. ἵνα μάλον διέλθῶ πολῆς. ἱστορίας. — 1061. ἀκριβὴ συνίκασιν. ἀναγινοσκόντων. — 1062. ἅπασαν. ὑπόθεσιν. — 1064. ποίσε τοθέλης ποίσε. ὡς. — 1065. ὑποθέσεως. — 1066. δαιμονώδεις. — 1067. μαγικὸς ἄστρολοτοσκοπούσα. — 1069. δεκανίκην.

Ἕναν εὑροῦσα πρὸ πυλῶν ἀπὸ τῶν παιδοπούλων,
στήκει καὶ λέγει πρὸς αὐτὸν ταῦτα μεμονωμένη·
« ἂν ἀπ' ἐμέναν μήνυμαν ὑπᾶς 'ςτὸν βασιλέαν
καὶ ποίσῃς καὶ συντύχω τον, πολὺν καλὸν εὑρήσεις
οὐκ ἀπ' ἐμοῦ τῆς ταπεινῆς, ἀλλ' ἐκ τοῦ βασιλέως.
Δύναμαι γάρ, παιδάκι μου, νὰ δώσω θεραπείαν
μεγάλην εἰς τὸ πάθος του παρὰ τὸν κόσμον ὅλον. »
— « Ἆ, πῶς λαλεῖς σύ, μάνα μου; | πάλιν ἐκεῖνος εἶπεν. (F.24,a.)
Ἁπλῶς ἐσὺ νὰ δυνηθῇς νὰ δώσῃς θεραπείαν
εἰς πάθος ἀνυπόφορον, ἐρωτικὸν μεγάλον;
ὅπου κανεὶς οὐ δύναται καὶ τῶν μεγαλωτέρων
τὸ νὰ συντύχῃ κἂν ποσῶς ἐσὺ καλὸν νὰ ποίσῃς;
Βλέπω σε, μάνα μου, πτωχήν, βλέπω (σε) καταλυμένην,
γραΐδιον δυσκακότυχον, ταλαίπωρον ὀκάτι
καὶ πρόσεχε μὴ πειρασμὸν ἀντὶ καλόν με ποίσῃς. »
Ἐκείνη λέγει πρὸς αὐτόν· « ἄφες, παιδίν μου, ταῦτα·
κἂν δυσειδής σοι φαίνομαι, κἂν γραῦς καταιλυμένη,
ταλαίπωρος, κακότυχος, ὡς ἂν με καταλέγῃς,
ἀλλὰ μεγάλην δύναμιν ἔχω τῆς ἰατρείας.
Ὁ χρόνος γάρ, παιδίτζιν μου, τὸ γῆρας ἢ τὰ ῥοῦχα
ἐμπόδισμαν οὐ δίδουσιν πρὸς τὸ νὰ θεραπεύω. »
Ἤκουσεν τὸ παιδόπουλον, λέγει· « μανίτζα, κάτσε
καὶ τὴν εὐχήν σου τὸ λοιπὸν δός με νὰ μὴ πολλάκις
ἐμπέσω πρὸς ἀνατασμόν, πρὸς κάκωσιν, πρὸς ὕβριν.
Τότε καὶ τί τὸ κέρδος σου, μάνα, νά με σκοτώσῃς; »

1070. ἕναν εὕρουσα προ. ἀπο. — 1071. στίκει. ταύτα μεμονομένη. — 1072. ἀπεμέναν μήνιμαν ὑπὰς ςτον. — 1073. συντίχω. εὑρίσης. — 1074. οὐκαμοῦ. — 1075. παιδάκη. ναδόσω θεραπίαν. — 1076. ὅλον. — 1077. Faut-il écrire Ἀπλῶς? λ. ἡμάνα. εἶπεν. — 1078. ἁπλῶς. ναδυνηθεὶς ναδώσης θεραπίαν.— 1079. ἀνηπόφορον ἐρωτικῶν. — 1080. ὅπου. μεγαλοτέρων. — 1081. τονασυντίχη. λαλεῖς ἰναπίσης. — 1082. καταλιμένην. — 1083. ταλαίπορον ὀκάτι.— 1084. ἀντικαλὸν.— 1085. ταύτα.—1086. δήση δήση φαίνομαι. γραὺς κατελιμένη. — 1087. ταλέπορος. — 1088. ἰατρίας. — 1089. γέρας. ρούχα. —1090. ναθεραπευω. — 1091. κάτζε. — 1092. λιπὸν. να. — 1093. ὕβριν. — 1094. κέρδοσου. ναμε.

Ὑπάγει τὸ παιδόπουλον, τὴν γραῦν ἀφίνει μόνην·
τρέχει, συντόμως ἔφθασεν, μετὰ σπουδῆς ἐσέβην
πρὸς τὸ κελλὶν τοῦ ἄνακτος, πρὸς τὸν κοιτῶνα τούτου.
Οὐκ ἔποικεν ἀπαίδευτα, στήκει μικρὸν παρέξω
καὶ τὸ σανιδοκράββατον (;) ἀψάμενος τῆς κλίνης
ὀλίγον συνετάραξεν ἅπαξ καὶ δὶς καὶ τρίτον.
Ὁ γὰρ|κρατῶν, τὸν λογισμὸν συστρέφων πρὸς τὸν νοῦν του (F. 24, b.)
καὶ πρὸς βυθὸν τὸν λογισμὸν ἔχων ὑπὸ φροντίδων,
εὐκόλως οὐ συνείκασε τὸ τάραγμαν τῆς κλίνης.
Ὅμως μετὰ τὴν ταραχὴν τὴν τρίτον ἐπανέστη,
ἤνοιξε καὶ τοὺς ὀφθαλμοὺς, ἠρώτησε νὰ μάθῃ
τὸν τρόπον, τὴν ὑπόθεσιν, τὸ σεῖσμαν τὸ τῆς κλίνης.
Στήκεται τὸ παιδόπουλον, οὕτως ἀπηλογᾶται·
« γυνή τις γραῦς ὑπόσχεται νὰ δώσῃ θεραπείαν
καὶ κουφισμὸν εἰς τὸ πονεῖς καὶ λύσιν εἰς τὸ πάσχεις. »
Λέγει· « καὶ ποῦνε; φέρε την. Τί στέκεις, τί 'πομένεις,
τί καρτερεῖς; Εἰπέ μέ το. Δράμε, συντόμως φθάσε. »
Ἐκβαίνει τὸ παιδόπουλον καὶ τρέχει πρὸς ἐκείνην.
Ἀπὸ τὸ χέριν δράσσει την, εἰς τὸ κελλίν την φέρνει.
Ἦτον ἀπάρτι τοῦ φωτὸς καὶ πλήρωμαν καὶ τέλος.
Ἐσέβην, προσεκύνησεν, χαμογελᾷ καὶ λέγει·

Τῆς γραίας εἶνε πρόλογος, μᾶλλον παρηγορία.

« Ἐν μάχαις τὸν ἀνίκητον, τὸν ἐν πολέμῳ μέγαν,
τὸν ἐφοβήθησαν πολλοὶ, τὸν ἰσχυρὸν αὐθέντην
βλέμμαν ἁπλῶς ἐρωτικὸν ἐνέκρωσεν, ἐχάσεν.

1095. ὑπάγεἰ. ἀφήνε:. — 1096. μετα. ἐσέβειν. — 1097. κελλὶν. κυτῶνα: — 1098. ἀπέδευτα. — 1099. το νανουδοκράβατον ἀψάμενος. — 1100. ὀλύγον. ἅπαξ. — 1101. κρατὼν. νούν. — 1102. βιθὸν. ὑπο φρωντίδων. — 1103. συνήκασε. — 1105. εἴνιξε. ἠρώτισε ναμάθει. — 1106. ὑπόθέσιν. σύσμαν. — 1107. οὕτως ἀπηλογάται. — 1108. γραὺς ὑπόσχεται ναδόσει θεραπίαν. — 1109. λίσην. πάσχης. — 1110. πόνε. Faut-il écrire plutôt πάγε? — 1111. ὑπέμε. — 1113. ἀποτὸ. δράσει. κελὶν. — 1114. εἴττον ἀπάρτει. — 1116. εἶναι. μάλον παρηγορίας: — 1119. βλέμαν ἁπλῶς:

Τί, βασιλεῦ, ἀγανακτεῖς, τί, βασιλεῦ, στενάζεις,
τί παραιτεῖσαι τὴν ἀρχὴν τῆς αὐτοκρατορίας
καὶ θάνατον ἐπιζητεῖς εἰς παρηγόρημάν σου;
Εἰ μὴ τὴν κόρην τὴν καλὴν εἰς δέσποιναν ἐπάρῃς,
καὶ πλήρωμαν | καὶ θέλημαν ἐρωτικοῦ σου λάβῃς, (F. 25, a.)
ἐγὼ δουλεύσω τὴν ἀρχὴν τῆς αὐτοκρατορίας,
ὑπηρετήσω τῇ βουλῇ καὶ τῷ θελήματί σου
καὶ χορηγήσω σοι τρυφὴν ἐρωτικὴν τὴν κόρην
καὶ δροσισμὸν ἐρωτικὸν εἰς τὴν πυρὰν εὑρήσεις,
εἰς τὴν πυρὰν τὴν ἐκ φλογὸς τῆς ἐρωτοκαμίνου. »
Ἀνέζησεν ὁ βασιλεὺς ἀπὸ τοῦ λόγου μόνον·
ἀνάγκην γὰρ ἐρωτικὴν παρηγορεῖ καὶ λόγος
πολλάκις ἀνυπόστατος ὡς ἔνι κατὰ τύχην.
Λέγει λοιπὸν ὁ βασιλεύς· « καὶ πότε, γραῦς μου, τοῦτο; »
Ἡ γραῦς ἀνταπεκρίνατο τῷ βασιλεῖ καὶ λέγει·
« ἂν μόνον καταλέξῃς με καὶ κατὰ μέρος εἴπῃς
ἅπαν τὸ συμβησόμενον ὡς ἔχει, δίχα δόλου,
παρηγορήσω σε κἀγὼ ὡς [ἐν] ὀλίγῳ χρόνῳ. »
Λέγει λοιπὸν ὁ βασιλεύς, ἐχάρισεν τὴν γραῖαν
πῶς ἀπ' ἀρχῆς ἐκίνησε, χάριν καὶ τίνος ἦλθεν
ὡς πρὸς τὸ δρακοντόκαστρον καὶ τότε πῶς προσεῖδεν
τὴν τοῦ χρυσοῦ λαμπρότηταν, στιλβότηταν τῶν λίθων,
τὸν ἄργυρον, τὸν μάργαρον, τὸ τεῖχος τὸ τοῦ κάστρου,
τὸ μῆκος καὶ τὸ μέγεθος καὶ τὸ τῶν πύργων ὕψος,
πῶς εἶπεν τὸ φουσσάτον του τὸ νὰ προσκαρτερήσῃ,
πῶς μετ' αὐτῶν ἐχώρισεν, μόνον δὲ τρεῖς συντρόφους
. . . .

1121. παραιτίσαι. — 1123. δέσπιναν. — 1125. εγὼ. αὐτὸκρατωρίας. — 1!26. ὑπηρετήσω τὴν βουλὴν. θελίματί σου. — 1127. χωριγήσω. τρωφὴν. — 1128. πλευρὰν εὐρήσης. — 1131. ἀνάγγην. — 1132. ἀνιπόστατος. — 1133. γραύς. τούτο. — 1134. ἡ. — 1136. ἅπαν. — 1137. παρηγωρήσω. καγὼ. ὡς. — 1138. γραίαν. — 1139. ἀπαρχῆς ἐκείνισε. ἦλθεν. — 1140. ὡς εἴδεν. — 1141. λαμπρότιταν στιλβότιταν. — 1142. τύχος. — 1143. μήκος. ὕψος. — 1144. εἶπεν. ναπροσκαρτερήσει. — 1145. μεταυτὸν ἐχώρησεν. καὶ.

καὶ πῶς σιμόνει | πρὸς αὐτὸ τοῦ δράκοντος τὸ κάστρον, (F.25, b.)
φωνὴν ποσῶς οὐκ ἤκουσεν, βίγλαν ποσῶς οὐκ εἶδεν.
ἄγρυπνους φύλακας δεινοὺς ὁποῦ ποτὲ τοιοῦτον
πορτάριν εἰς τὴν πόρταν του κανεὶς οὐδὲν ἐθέκεν,
πῶς φόβος ὑπεσέβηκεν καὶ πῶς ἐδειλανδρῆσαν
γοργοὶ πρὸς τοὺς συντρόφους του καὶ τί καὶ πῶς γυρίζει,
πῶς ἐμετεβουλεύθησαν νὰ καρτερήσουν πάλιν
ὅλην αὐτὴν τὴν δεύτερον, τὴν τρίτον ὅπως ἴδουν
τίποτε πληροφόρημαν, τίποτε πρᾶγμαν ἄλλον
καὶ πῶς πρὸς ὥραν δειλινοῦ βλέπουσι τὴν χουρτέσαν
τὸ τεῖχος νὰ περιπατῇ καὶ νὰ περιδιαβάζῃ.

Νέκρωσις πάλιν γίνεται τῷ βασιλεῖ μεγάλη.
Ναὶ μοιρογράφημα κακόν, ναὶ μαινομένη τύχη,
τὸ θέλημά σου πλήρωσε καὶ τὸ δυστύχημά σου.

Τοῦτο καὶ μόνον ἔφθασεν, εὐθὺς ἀπονεκροῦται,
σπαράττουσι τὰ μέλη του, κλονεῖται τὴν καρδίαν
ὥστε νομίζειν καὶ τὴν γραῦν ἀποθανεῖν ἐκεῖνον·
ὅμως σιμόνει, βλέπει τον, τῆς κεφαλῆς κρατεῖ τον,
ὀκάτι ψιθυρίσματα λαλεῖ καθ' ἑαυτοῦ της,
ἐστράφηκεν ὀπίσω της, σφακέλωμαν ἐποῖκεν,
ἔπτυσεν ὡς ὀργισθικὰ, ἐκτύπησε τὸν πόδαν
ὡσὰν ἐπαπειλήσεται τοὺς δαίμονας, δοκεῖ μοι.
Ὁ βασιλεὺς ἐγείρεται τῆς κλίνης καὶ καθῆται,

1146. συμόνει. — 1147. οὐχήκουσεν. οὐχ' οἶδεν. — 1148. δυνοὺς. τοιούτον. — 1150. ὑπεσέδηκεν. ἐδιλανδρίσω. — 1151. προς. — 1152. να. — 1153. ὅλην. ὅπως. Est-ce qu'il faut écrire εἴ πως ou μήπως? — 1154. πράγμαν. — 1155. ὄραν δυληνοῦ. — 1156. τύχος ναπεριπατεῖ. ναπαραδιαβάζει. — 1157. ναίκρωσις. — 1159. δυστίχημά. — 1160. τούτο. ἀπονεκρούται. — 1161. σπαράττουσει. μέλει. κλωνῆται. — 1162. γρὰν. — 1163. ὅμως συμόνει. κρατήτον. — 1164. ὀκάτι ψιθυρήσματα λαλεῖν καθέαυτούτης. — 1165. σφακέλομαν ἐποίχεν. — 1156. ἔπτησεν ὡς ὀργισθηκὰ. ἐκτίποισε. — 1167. ὡσᾶν ἐπαπηλύσεται. δαίμωνας. δοκῆ. — 1168. ἐγήρεται. καθήται.

τὴν γραῦν κρατεῖ καὶ λέγει την, πολλὰ | παρακαλεῖ την· (F.26,a.)
« Γραῦς μου, ἂν ποίσῃς τίποτε καὶ τὸ ποθῶ κερδήσω,
μάναν νὰ λέγουσιν ἐσέ, ἐμέναν δὲ παιδίν σου·
ὁλόχρυσον τὴν στήλην σου στήσουν εἰς τὸ παλάτιν,
μεγάλας εὕρῃς χάριτας, πρᾶγμαν πολὺν κερδήσεις.
Ἀλλὰ πληρώσω τὴν ὑφὴν τοῦ λόγου καὶ τὴν στράταν.
Εἶδον ἐκείνην τὴν καλήν, ἐρωτικὴν τὴν κόρην
συμπαίζουσαν μετά τινος, ἐρωτικὰ φιλοῦσαν
καὶ πῶς την εἶδα, μάνα μου, τὸ πῶς εἰπεῖν οὐκ οἶδα,
αἴσθησιν, νοῦν καὶ λογισμὸν καὶ γνῶσιν ἐπαφῆκα,
λίθος ἐγένην, μάνα μου, ἀκίνητος ἐστάθην,
μόλις ποτὲ μὲ στεναγμοὺς ἐγύρισα θλιμμένος,
εἶπά τους τὴν ὑπόθεσιν, ἐλάλησα τὰ πάντα
καὶ ζήτημαν ἐζήτησα καὶ βούλευμαν ἐδῶκαν
τὸ κάστρον νὰ μαδήσωμεν, τὴν κόρην νὰ κερδήσω.
Ἀλλ' ἦσαν ὅλοι πρὸς βουλὴν ἔξω τὴν ἐδικήν μου.
ὡς πρὸς τοὺς ὄφεις γὰρ κανεὶς μάχην οὐδὲν ἐκίνει.
Τί τὸ λοιπὸν βουλεύονται; νὰ γυριστοῦν ὀπίσω,
νὰ ποίσωμεν συμμαχικόν, νὰ δώσωμεν τὴν ῥόγαν,
νὰ ποίσωμεν καὶ μηχανὰς ὡς πρὸς τειχομαχίαν
καὶ τότε νὰ κινήσωμεν τὴν μάχην τὴν τοῦ κάστρου.
Ἰδοὺ καὶ τὸ συμπλήρωμαν παντὸς τοῦ λόγου, μάνα.
Ἐδάρτι πρὸς τὸ κίνημαν εἴμεσθεν καὶ τὴν μάχην. | (F.26,b.)
Λοιπὸν ἀπάρτι, μάνα μου, πάλιν παρακαλῶ σε
ἰδὲ νὰ ποίσῃς τίποτε, μὴ κινδυνεύσω ἀδίκως. »

1169. παρακαλήτην. — 1170. γραύς μου καί. κερδύσω. — 1171. να. — 1172. ὁλόχρυσον. στύλιν. στίσουν. παλάτην. — 1173. εὕρης. πράγμαν. κερδίσης. —1174. ἠφὴν. — 1175. εἶδον. — 1176. συμπέζουσαν. φιλούσαν. — 1177. τὴν ἦδα. οὐκ'. — 1178. γνώσιν ἐπαφήκα. — 1179. ἐγένειν. — 1180. με. ἐγήρισα θλημένος. — 1181. εἶπα. ὑπόθεσιν. — 1182. ζήτιμαν ἐζήτισα. ἐδόκαν. — 1183. να. χώριν νακερδήσω. — 1184. ἀλλήσαν ὅλλοι. ἐξωτὴν. — 1185. ἐκήνει. — 1186. λιπον βουλευονται ναγυριστοὺν. — 1187. να. συμαχηκον. ναδόσωμεν. — 1188. να. προςτειχωμαχίαν. — 1189. νακηνίσωμεν. — 1190. συμπλήρομαν. — 1191. ἐδάρτη. κήνημαν εἰμεσθεν. — 1192. παρακαλώσε. — 1193. να.

— « Σῶπα, τὸν λέγει, βασιλεῦ, ἀπάρτι μὴ μερίμνα·
ἐμὲ μελήσει τοῦ λοιποῦ καὶ σὺ μηδὲν λυπῆσαι.
Ἔχεις τὴν κόρην, εἶξευρε, ὡσὰν νά την ἐκράτεις. »
Λέγει λοιπὸν ὁ βασιλεύς· « καὶ πότε, γρά μου, τοῦτο; »

Ναὶ μοιρογράφημα κακὸν, ναὶ μαινομένη τύχη
πλήρωσε πᾶσάν σου βουλὴν, κακοδυστυχημένη.

Ἐκείνη λέγει· « μετὰ τρεῖς ἡμέρας ὁλοκλήρους
ἀφ' οὗ τὸ κάστρον φθάσωμεν τοῦ δράκοντος ἐκείνου. »
Ὁ βασιλεὺς ἀγανακτῶν πρὸς τοῦ καιροῦ τὸ μῆκος
— ψυχὴν γὰρ ἐρωτόληπτον καὶ ποθοκρατουμένην
. . . . —
ὅμως καὶ μὴ βουλόμενος οὐκ εἶχεν τί νὰ ποίσῃ.
Τί τὸ λοιπὸν ἐγένετο καὶ τί τὸ τέλος τούτου;
Μῆλον ἡ γραῦς ὁλόχρυσον καὶ κεκαλλωπισμένον
γράμμασι κακομαγικοῖς καὶ λόγοις μαντευμάτων
ἐπέδευσεν, ἐδέσμευσεν, ὡς ἤθελεν ἐκείνη,
διπλοῦν μηχανομάντευμαν τὸ μῆλον ἐπιγράφει·
« ἂν ἄνθρωπος εἰς κόρφον του τὸ μῆλον τοῦτο βάλῃ,
νεκρὸς ἂς κεῖται παρευθὺς, ἄπνους εὐθὺς ἂς ἔνι·
ἂν δέ τις εἰς τὴν μύτιν του τοῦ νεκρωμένου πάλιν
θήσῃ τὸ μῆλον τὸ χρυσοῦν ζήτω καὶ μὲ τοὺς ζῶντας
ἰχνεύειν καὶ περιπατεῖν καὶ κόσμον περιτρέχειν. » | (F.27,a.)

Ἡ γραῦς κατασκευάσασα τὸ μαγεμμένον μῆλον
λέγει καὶ συμβουλεύεται τῷ βασιλεῖ τοιαῦτα.

Ὡς δὲ τὴν πᾶσαν συσκευὴν ἐπλήρωσεν ἡ γραῖα

1194. σώπα. βασιλεὺ. — 1195. λοιπήσε. — 1196. ἔχης. ἤξευρε ὡς ἀνατήνεκράτης. — 1197. βασιλεῦ. τούτο. — 1199. πάσαν. — 1200. ἐκήνη: ὁλοκλήρους. — 1201. φθάσομεν. — 1202. ἀγανακτὼν. μήκος. — 1203. ἐρωτόλοιπτον. ποθωκρατουμένην. — 1204. εἶχεν τίνα πίσει. — 1206. μήλον ἡγραὺς ὁλόχρυσον τὸ καὶ καλοπιμένον. — 1209. διπλοὺν. μίλον. — 1210. μήλον τούτο βάλει. — 1211. ἂς κήται. ἔνι. — 1212. μίτην. νεκρομένου. — 1213. θήσει. μήλον. χρυσοὺν. μετοὺς ζώντας. — 1214. ἰχνευειν. — 1215. γραὺς. μαγεμένον μήλον. — 1216. τυιαῦτα. — 1217. πάσαν. γραία.

λέγει· « φουσσάτον περισσὸν οὐ θέλω τὸ νὰ σύρνῃς,
ἀνθρώπους μόνους ἑκατὸν ἔπαρε μετ' ἐσέναν·
οὐ μάχης ἔνι γὰρ καιρὸς, ἀλλὰ προσκαρτερίας
ἐμῶν χειρῶν γεροντικῶν, ἐμῶν καταπλασμάτων. »
Ἐκίνησεν ὁ βασιλεὺς, ἐξέβην μὲ τὴν γραῖαν
καὶ μετ' αὐτοὺς τοὺς ἑκατὸν οὓς ἤθελεν ἐκείνη.
Τρίμηνον ἐποιήσασιν νὰ φθάσουν εἰς τὸ κάστρο.
νὰ φθάσουν εἰς τὰ σύνορα τοῦ δρακοντώδους κάστρου.
Ἐφθάσασιν, ἐπέσασιν — ὡς ἐν συντόμῳ λόγῳ
τὸ πᾶν ἀποσυναγαγεῖν — εἰς τὸ κατουνοτόπιν
ἐκεῖνο, τὸ καὶ πρότερον ἦσαν κατουνεμμένοι.
Ἀλλὰ τὴν τέχνην της αὐτὴ ποσῶς οὐδὲν ἠμέλει·
δαίμονας εἶχεν μετ' αὐτῆς, δαίμονας συνελάλει,
δαίμονας συνετύχαινεν καὶ μετ' ἐκείνους ἔτρων,
δαίμονας ἐσυνόδευε καὶ τῶν δαιμόνων ἦτον
ἐςτ' ἂν νὰ ποίσῃ μηχανὴν καὶ τρόπον καὶ μαντείαν
νεκρὸν μὲν τὸν Καλλίμαχον νὰ ποίσῃ, τὴν δὲ κόρην
ἀπὸ τὸ δρακοντόκαστρον ὁ βασιλεὺς ἐπάρῃ,
ὡς ἐν ὀλίγῳ παρομπρὸς τὸ πᾶν ἀνακαλύψω.

Ναὶ μοιρογράφημα κακὸν, ναὶ μαινομένη τύχη,
ἐκπλήρωσον τὸ θέλημα αὐτὸ τὸ μαντικό σου.

| Τὸν τόπον ὅνπερ εἶχασιν συνήθως τὸ νὰ βλέπουν (F. 27, b.)
ἀπὸ τοῦ κάστρου κάτωθεν, παρέξωθεν ὀλίγῳ
καὶ τὸ νησίτζιν τὸ καλὸν, τὸ εὔμορφον ἐκεῖνον,
τὸ ξενοχαραγόπλαγον, ἅπαξ τῆς ἑβδομάδος,

1218. περισὸν. τονκσήρνης. — 1219. ἐκατὸν. μετεσέναν. — 1220. πρὸς-καρτερίας. — 1222. με. — 1223. μεταυτοὺς. ἐκατὸν οὒς. — 1224. να. — 1225. να. δρακοντόδους. — 1226. ἐσυντομολόγω. — 1227. τοπὰν ἀποσυν-αγαγὼν. — 1228. ἐκείνο. κατουνεμένοι. — 1229. τέχνιν. — 1230. εἶχεν μεταυτῆς. — 1231. συνετύχενεν. μετεκείνους ἔτρον. — 1232. δαίμωνας. ἤτων. — 1233. ἐστάνα ποίσει μιχανὴν. μαντίαν. — 1234. ναποίσει. — 1235. ἀποτὸ. ἐπάρει. — 1236. παρ'όμπρὸς. πὰν ἀνακαλίψω. — 1258. ἐκ-πλήροσον. — 1239. ἤχασιν. τόνα. — 1241. νισήτζιν. ἐκείνον. — 1242. ἅπαξ.

τὸν εὔοσμον, τὸν εὔμορφον, τὸν καταμυρισμένον.
τὸν γέμοντα τὰς ἠδονάς, τὸν γέμοντα τὰ ῥόδα,
τὰς ἠδονὰς καὶ τὰ φυτὰ καὶ τὰ νερὰ τὰ κρύα,
τὸν τόπον τοῦτον ηὕρηκεν ἐκ μηχανῆς ἡ γραῖα,
ὅτι προκύπτουσιν ὁμοῦ Καλλίμαχος καὶ κόρη
καὶ βλέποντες εὐφραίνονται τῆς ἑβδομάδος ἅπαξ.
Λοιπὸν ἐκεῖ την ἔδοξεν τὸ νὰ κρυβῇ τὴν γραῖαν
ἐςτ' ἂν νὰ ποίσῃ τὸ κακὸν καὶ τὴν ἀποδοχήν της.

Τῆς γραῦς τὸ κακομήχανον σκόπησον νὰ θαυμάσῃς.

Τί τὸ λοιπὸν παρήγγειλεν ἡ γραῦς τὸν βασιλέαν;
« Βλέπεις ἐκεῖνον τὸν καλόν, τὸν εὔμορφον τὸν τόπον,
τὸ καλοξενοχάραγον ἐκεῖνον τὸ νησίτζιν;
Ὑπάγω τὸ νὰ κρυβηθῶ, τὴν μηχανὴν νὰ ποίσω
καὶ παραγγέλλω, λέγω σας, κανεὶς μηδὲν σπαράξῃ.
Προσέξετε νἀκούσετε σφύρισμαν ἀπ' ἐμένα
καὶ τότε πάντες δράμετε, ἔλθετε πρὸς ἐμέναν. »
Εἶπεν, εὐθὺς ἐκίνησεν ὥρᾳ μεσονυκτίου,
ἐπῆγεν, ἀπεκρύβηκεν ὡς ἤθελεν ἐκείνη.

Τὸ μαγικὸν καὶ δολερὸν κρύβημαν τὸ τῆς γραίας.

. . . . | (F.28,a.)
φωνὴν ἀνθρώπου κλαίοντος· οὐκ οἶδα τί τὸ πάθος.
Μὴ τάχα δράκων ἕτερος εὑρέθη πρὸς τὸν τόπον

εὐδομάδος. — 1243. το καταμιρησμένον. — 1244. ἰδονὰς. — 1245. ἠδονὰς. τανερὰ. κρία. — 1246. τούτον ηὕρηκεν. ἡ γραία. — 1247. ὅτι προκήπτουσιν ὁμοῦ. -- 1248. εὐφρένονται. εὐδομάδος ἅπαξ.— 1249. ἐκεὶ τὴν. τονακριβῆ. γραίαν. — 1250. ἐστάνα πήσει.. — 1251. γραὺς. σκόπισον να. — 1252. τὶ. ἡ γραὺς. — 1253. βλέπης. — 1255. ὑπάγω. ναχριβηθῶ. μιχανὴν. πίσω. — 1256. παραγγέλω. σπαράξει. — 1257. προσέξεται νακούσεται σφίρησμαν ἀπεμένα. — 1258. ἔλθεται. — 1259. εἶπεν. ὅρα μεσονικτήου.— 1260. ἐπήγεν ἀπεκρίβηκεν ὡς. — 1261. κρίβημαν. — 1262. κλέον τος οὐκ'. — 1263. ἕτερος εὑρέθη.

καὶ ληστρικὴν ὠμότηταν δείχνει πρὸς τοὺς ἀνθρώπους;
Ἀλλὰ καὶ ποῦ περίκομμαν ἀνθρώπου πρὸς τὸν τόπον;
τίς εἰς τὸ δρακοντόκαστρον ἴσχυσεν ἀναδῆναι,
τίς τὸν τοσοῦτον τὸν βουνὸν καὶ τὸν τοσοῦτον τόπον,
τὸ τόσον ἐρημάνθρωπον, τὴν ἀγριοτοπίαν
ἀνάδην ἠδυνήθηκεν μετὰ θελήματός του; »

Πρὸς ὀλιγὸν ἐσίγησαν· πάλιν φωνὴν ἀκούει
ἰσχυροτέραν καὶ τρανὴν καὶ μείζων τῆς προτέρας.

Ακούσας ὁ Καλλίμαχος ἐσπάραξεν αὐτίκα
— τὸ μέλλον γὰρ παρεκφυγεῖν ὁ χρόνος οὐκ ἀφίνει. —
Ἐκάφθησαν, ἐδάκρυσαν, καὶ λέγει πρὸς ἐκεῖνον
ἡ κόρη μετὰ στεναγμοῦ· « Καλλίμαχε χρυσέ μου,
ἔχει καὶ δράκων συγγενῆν· μὴ συγγενὴς ἐκείνου
ἦλθεν ἁπλῶς, ἐφώλευσεν καὶ καθ' ἡμῶν ὁρμήσει;
Στέκου σιμά μου, κράτει με, ἔξω μηδὲν ὑπάγῃς. »
Ὁ δὲ, δραμὼν εἰς τὸ κελλὶν, σπαθὶν ἐπαίρει, τρέχει,
τὰς πόρτας λέγει, μόναι των ἀνοίγουν παραυτίκα.

Ναὶ μοιρογράφημα κακὸν, ναὶ μαινομένη τύχη,
ποῖσε τὸ θέλεις σύντομον, μηδέν το παρεκτείνῃς.

Τρέχει, πηδᾷ πρὸς τὴν φωνὴν καὶ συρισμὸν ἀκούει·
ἐκβαίνει δράκων φοβερὸς ἔσωθεν ἐκ τοῦ δάσους,
| τὸν ἔκαμεν ἐκ μηχανῆς ἡ γραῦς μετὰ μαγείας, (F. 28, b.)
κρατῶν τὴν γραῦν τοῦ στόματος καὶ τάχα καταπίνων.

1264. λιστρικὴν. δείχνη. — 1265. περίκομαν. — 1266. ἀναβῆναι. — 1267. τοσούτον (*bis*).— 1268. ἀγριωτοπίαν.— 1269. ἀνάβειν.— 1270. προ ὀλίγον. — 1271. μήζων. — 1272. ὁ. — 1273. μέλον. ὁ οὐκαφήνει. — 1274. ἐδάκρισαν. ἐκείνον. — 1275. ἡ. — 1276. συγγενήν μη. — 1277. ἦλθεν ἀπλῶς. καθημῶν ὁρμήσει. — 1278. σημά μου κράτη. ἠπάγης. — 1279. κελὶν. — 1280. μόνας τον ἀνήγουν. — 1281. μυρογράφημα. — 1282. ποίσε το θέλης. παρέκτύνης. — 1283. πιδὰ. — 1284. του. — 1285. ἡ γραὺς. μαγίας. — 1286. κρατὼν τὴν γραὺν.

Ὁ δράκων δυσετήρησεν ἐρχόμενον ἐκεῖνον
μετὰ θυμοῦ καὶ τὸ σπαθὶ γυμνὸν νά το βαστάζῃ.
Τὴν γραῦν ἀφῆκεν, ὥρμησεν εὐθὺς ὡς πρὸς ἐκεῖνον·
ἐκεῖνος πάλιν πρὸς αὐτόν, μὲ τὸ σπαθίν τον χρούει
καὶ τὸ κεφάλιν ἔκοψεν τοῦ δράκοντος αὐτίκα.
Τέχνασμα τοῦτο μαγικὸν καὶ συσκευὴ καὶ πλάσμαν.
Ἡ γραῦς, ὡς εἶδεν, ἔδραμεν εὐθὺς ὡς πρὸς ἐκεῖνον
« τὸν ῥύστην μου, τὸν σώστην μου » τρανῶς ἀναβοῶσα.
Ἴχνη ποδῶν καταφιλεῖ τάχα τοῦ Καλλιμάχου.
Ἡ κόρη, τὸν Καλλίμαχον ὡς εἶδε πολεμοῦντα
καὶ κόψαντα τὴν κεφαλὴν τοῦ δράκοντος εἰς τέλος,
δράττει ξυστὶν ὁλόχρυσον, ὑπᾷ πρὸς τὴν φισκίναν
νερὸ νὰ φέρῃ πρὸς αὐτόν, τὰς χεῖράς του νὰ νίψῃ,
καὶ τὴν κακομηχάνοτον, τὴν μιαιφονωτάτην
τάχα [τὴν] δεξιώσεται, τὴν γραῦν τὴν δαιμονώδην.

Ναὶ μοιρογράφημα κακόν, ναὶ μαινομένη τύχη,
ποῖσε τὸ θέλεις σύντομον καὶ ἐξοπλήρωσέ το.

Ἡ γραῦς ἡ κακομήχανος, τὸ σκεῦος τῶν δαιμόνων,
τῆς ἀστραπῆς ὁ σύντροφος καὶ τῆς βροντῆς ἡ μάνα,
τοῦ Σατανᾶ τὸ παίδευμα, τῶν Νηρηΐδων μάμμη,
πάσης ἁπλῶς κακοτικῆς πράξεως | συνοδῖτις (F. 29, a.)
μῆλον ἐκβάλλει τὸ χρυσὸν προτοῦ νὰ φθάσῃ ἡ κόρη
καὶ « νὰ τὸ μῆλον, λέγει τον, ἀνταμοιβὴν » ἡ γραῖα.

1287. ὁ. ἐκείνον. — 1288. μετα. σπαθὺ. νατὸ. βαστάζει. — 1289. γραὺν ἀφίκεν ὥρμησεν. ἐκείνον. — 1290. ἐκείνος. μετὸ σπαθὺν τὸν. — 1291. κεφάλην. δράκωντος. — 1292. τούτο. — 1293. γραὺς. οἶδεν. ὡς. ἐκείνον. — 1294. ἀναβωόσα. — 1295. κατὰ φιλεῖ. — 1296. ἡ. καλήμαχον. οἶδε πολεμούντα. — 1298. δράπτει ξυστὴν ὁλόχρυσιν ὑπὰ. φυσκήναν. — 1290. ναφέρει. χείρας. νανήψει. — 1300. μιαιφωνοτάτην. — 1301. δεξηώσεται. γραὺν. δαιμονόδην. — 1303. ποίσε. θελης. ὡς. — 1304. ἡ. σκέλος. δαιμώνων. — 1305. ὁ. — 1306. σατανὰ. πέδευμα. τῶν ἠριήδων. — 1307. ἁπλῶς. συνοδίτης. — 1308. μάλλον ἐκβάλει. ναφθάσει ἡ. — 1309. ἀντιμηβὴν ἡ γραία.

Ἐπαίρει τοῦτο, βλέπει το, τὸ κάλλος του θαυμάζει,
ῥίπτει το πρὸς τὸν κόρφον του· εὐθὺς ἀπονεκροῦται.
Ἔρχεται, φέρνει τὸ ξυστὶν ἡ κόρη ἐκ τοῦ κάστρου,
εὑρίσκει τὸν Καλλίμαχον νεκρὸν ἐξαπλωμένον,
τὴν γραῦν νὰ βάλλῃ τὰς φωνάς, μεγάλως νὰ συρίζῃ.
Ὡς ἤκουσεν ὁ βασιλεὺς τὸν συρισμὸν τῆς γραίας
— εἶχε καὶ γὰρ περισπασμὸν πάντοτε καὶ μελέτην —
καβαλλικεύει μετ' αὐτοὺς τοὺς ἑκατὸν καὶ φθάνει,
εὑρίσκει τὸν Καλλίμαχον κείμενον νεκρωμένον,
τὴν κόρην ὁλοαναίσθητον, ἐξεπαταγωμένην,
τὴν γραῦν νὰ παίζῃ ὡς τὸ παιδὶν, ἐρωτικῶς νὰ ὀρχῆται.
Στιμμὴν οὐδὲν ἐστάθησαν, ὥραν οὐδὲν ἐποῖκαν,
τὴν κόρην ἀφαρπάζουσιν, τὴν γραῦν μετὰ τῆς κόρης,
καὶ πρὸς τὴν χώραν τὴν αὐτοῦ μετὰ σπουδῆς ἐντρέχει.
Πάλιν πλατύνω τὴν γραφὴν καὶ παρασύρω ταύτην,
ἀλλὰ μικρὸν χαρτέρησον, στήθητι πρὸς ὀλίγον
καὶ πᾶσαν τὴν ὑπόθεσιν μετ' ἀκριβείας μάθῃς. |

Τοῦ Καλλιμάχου θάνατος ἀπὸ τοῦ μήλου μόνον (F. 29. b.)
καὶ πάλιν ἀναβίωσις αὐτοῦ παρὰ τοῦ μήλου.

Ὁπόταν ὁ Καλλιμάχος εἰς γῆν νεκρὸς ἐκεῖτον,
ἄπνους, χωρὶς αἰσθήσεως καὶ δίχα συντυχίας,
ἐσπούδασεν ἡ Τύχη του, δρόμον καὶ κόπον εἶχεν
νὰ φθάσῃ πρὸς τοὺς ἀδελφοὺς ἐκείνου νά τους εἴπῃ
τὸ πρᾶγμαν καὶ τὴν συμφορὰν αὐτὴν τοῦ Καλλιμάχου.

1310. τούτο. χάλος. — 1311. ῥύπτυ. — 1312. ξυστὴν ἡ. ἀπο. — 1313. εὑρίσκει. — 1314. ναβάλει. νασυρίζει. — 1315. οἴκουσεν ὁ — 1316. εἶχε. — 1317. καβαλικεύει μεταυτούς. ἑκατον. — 1318. εὑρίσκει. νεκρομένον. — 1319. ὁλοάναίσθητον ἐξεπαταγομένην. Voyez, pour ce mot, le glossaire. — 1320. γραὺν ναπέζει. ναὀρχήται. — 1321. στημὴν. ὥραν. ἐποίκαν. — 1322. γραὺν. — 1323. αὐτοῦ. — 1324. πλατίνω. — 1325. μηκρὸν. στήθιτι. — 1326. πάσαν. ὑπόθεσιν μεταχριβίας. — 1327. μίλου. — 1328. παρατοῦ. — 1329. πόταν ὁ. γὴν. ἐκήτον. — 1330. συντιχήας. — 1331. εἶχεν. — 1332. ναφθάσει. νατοὺς εἴπει. — 1333. πράγμαν.

Καὶ τὸ λοιπὸν εἰς ὕπνον τους μαυροφοροῦσαν βλέπουν

Ναὶ μοιρογράφημα κακόν, ἄλλαξε τὸ κακόν σου
καὶ ποῖσέ το γλυκύτερον καὶ παρηγόρησέ το.

γυναῖκαν καὶ νὰ δέρνεται, τὰς τρίχας νὰ μαδίζῃ,
τὰ μάγουλα νὰ ξαίνεται, τὰ στήθη της νὰ κρούῃ
καὶ νὰ φωνάζῃ· « τρέχετε » τοὺς ἀδελφοὺς ἐκείνου,
« τρέχετε πρὸς Καλλίμαχον· δεινὴν ἀνάγκην ἔχει ».
Εἶδάν την, ἐξεπλάγησαν ἐκ τῶν φωνῶν ἐκείνης.
Ὁ πρῶτος ἐγρηγόρησε, τὸν ἄλλον ἐξυπνίζει·
« ἀδέλφι, εἶδες ὄνειρον περὶ τοῦ Καλλιμάχου; » .
— « Γυναῖκαν εἶδα, λέγει τον, μὲ μαῦρα νὰ φωνάζῃ,
νὰ δέρνεται, νὰ ξέεται καὶ « δράμετε » νὰ κράζῃ,
« βωθᾶτε τὸν Καλλίμαχον· δεινὴν ἀνάγκην ἔχει ». »

Τὸ ὄνειρον ὡς εἴδασιν περὶ τοῦ Καλλιμάχου
περιστατοῦνται, θλίβονται, σπουδάζουν βοηθῆσαι. |

Λέγουσιν· « ὁ Καλλίμαχος εἰς πειρασμὸν ἐσέβην, (F. 30, a.)
ἀνάγκην ἔχει σήμερον, κίνδυνον ἔχει μέγαν,
ἀνάγκην ἔχει καὶ πολλὴν ἀπὸ κινδύνου ζάλην.
Ἂς δράμωμεν, ἂς δείξωμεν ἀδελφικὴν ἀγάπην·
ὡς ἀδελφοὶ τὸν ἀδελφὸν ἄς τον ἀναζητοῦμεν,
καὶ μετ' αὐτοῦ τὸν πειρασμὸν ἄς τον συμπειραστοῦμεν.

1334. ὕπνον. μαυφοφορούσαν. — 1335. ἄλαξαι. — 1336. ποίσε. γλυκήτερον. παριγώρησέ. — 1336. γυναίκαν. να. ναμαδίζει. — 1338. ξένεται. ταστήθει. νακρούει. — 1339. ναφωνάζει τρέχεται. — 1340. τρέχεται. δυνὴν ανάγκην. — 1341. ἴδαν. — 1342. ὁ πρώτος ἐγρυγώρυσε. ἐξηπνήζει. — 1343. ἀδέλφη εἶδες ὄνιρον. — 1344. γυναίκαν οἶδα. μεμαύρα ναφωνάζει. — 1345. να (*bis*). δράμεται νακράζει. — 1346. βοθάτε. δυνὴν. — 1347. οἶδασιν. — 1348. περίστατούνται θλήβονται. βοηθήσαι. — 1349. πυρασμὸν. — 1350. ἀνάγγην. σύμερον. — 1351. ἀνάγγην. πολὴν. ἀπο. ζάλιν. — 1352. ἀς (*bis*). — 1353. ὡς. αὐτὸν ἀναζητούμεν. — 1354. μεταυτοῦ. ἀς τὸν συμπειραστούμεν.

Αὐτὰς ψυχὰς προδώσωμεν, τὰ σώματά μας ὅλα
ὑπὲρ ἀγάπης ἀδελφοῦ, καὶ τόδε Καλλιμάχου.
Σπουδάζωμεν· τὸ κίνημαν ἀναβολὴν οὐ θέλει.
Τὴν εἰς τὸ δρακοντόκαστρον ὁδὸν ἂς πορευθοῦμεν. »
Ἐξέβησαν, ἐκίνησαν τὴν στράταν τὴν προτέραν
καὶ καθ' ὁδὸν « Καλλίμαχε, » στριγγίζουσιν μεγάλως
« ἀδέλφι μας Καλλίμαχε, πόθεν ἀνάγκην ἔχεις
καὶ πόθεν ἔχεις πειρασμὸν καὶ τὴν ἀνάγκην πόθεν
καὶ τίς ποσῶς ἐτόλμησεν καὶ ἐπολέμησέ σε;
Ἀλλ' ἀναζῇς, ὑπόμεινον μικρὸν τοὺς ἀδελφούς σου.
Ἐρχόμεθα καὶ σήμερον, καὶ λυτρωσόμεθά σε
ἢ γοῦν συναποθάνωμεν ὡς ἀδελφοὶ τὴν σχέσιν.
Καλλίμαχε καλούτζικε, πῶς ἐν κινδύνῳ κεῖσαι,
ἀλλὰ χωρὶς τῶν ἀδελφῶν, καὶ κινδυνεύεις μόνος
καὶ θάνατος (;), Καλλίμαχε, ἐν μέσῳ τῶν κινδύνων,
καὶ μέσον εἰς τὸν κίνδυνον | τοὺς ἀδελφοὺς οὐ βλέπεις (F.30,b.)
νἀνδρίζεσαι, νὰ μάχεσαι μὲ τὴν ἐλπίδα μόνην!
Ἴσως ἡττήθη, — τί καινόν; — καὶ κατεπολεμήθη,
καὶ κεῖται μὲν Καλλίμαχος νεκρὸς ἀπὸ πολέμου
καὶ μὲ τοὺς ἀνδραγαθισμούς, μὲ τὰς πολλὰς τὰς νίκας,
ἡμεῖς δὲ ζῶντες ἔχομεν ἄσπλαχνον καταδίκην·
οὐ γὰρ συναποθάνωμεν μετὰ τοῦ Καλλιμάχου. »
Ἐν τοῖς τοσούτοις λογισμοῖς καὶ τοῖς τοσούτοις λόγοις
περιπατοῦσι τὴν ὁδόν, πληροῦσι μόλις ταύτην,
εὑρίσκουσι μετὰ πικρᾶς, ὀδυνηρᾶς καρδίας

1355. προδώσομεν, ὅλλα. — 1356. ὑπερ. τότε. — 1357. σπουδάξομεν. ἀναβλὴν. — 1358. το. ὁδὸν ας πορευθούμεν. — 1359. ἐκύνησαν. — 1360. καθοδὸν. — 1361. ἀδέλφη. καλήμαχε. πόσην ἀνάγγην ἔχης. — 1362. ἔχης πιρασμὸν. — 1364. ἀναναζῆς (Bk. ἂν ἀναζῇς). ὑπόμυνον μηχρὸν. ἀδελφού σου. — 1365. σύμερον. λυτρωσώμεθά. — 1366. σχέσην. — 1367. κήσαι. — 1368. κινδυνεύης. — 1369. κυνδίνων. — 1370. κύνδινον. βλέπης. — 1371. νανδρίζεσε ναμάχεσε μετὴν ελπίδα. — 1372. ἡττήθει. κατεπολεμήθει. — 1373. κήται. ἀπο. — 1374. με (*bis*) ἀνδραγαθησμοὺς. — 1375. ἡμεῖς. ζόντες ἔχωμεν. — 1376. συναποθάνομεν μετα. — 1378. περιπατούσει.ὁδὸν. πληρῶσει. — 1379. εὑρίσκουσι μεταπικρὰς ὀδυ-

τὸ χρυσοδρακοντόκαστρον καὶ τὴν δράκοντου πόλιν.
Τὸ τεῖχος περιτρέχουσιν, πλὴν μετὰ φόβου πόσου
καὶ μετὰ πόσου στεναγμοῦ καὶ μετὰ πόσου πόνου,
εἰς τὸ νησίτζιν ἔρχουνται τὸ σύνεγγυς τοῦ κάστρου,
εὑρίσκουσι τὸν ἀδελφὸν ἐκεῖσε νεκρωμένον.

Ναὶ μοιρογάφημα κακόν, ἄλλαξε τὸ κακόν σου
καὶ ποῖσέ το γλυκύτερον. Ἀρκεῖ (;) γὰρ ἀπὸ τώρα.

Παρακαθίζουσιν ἐκεῖ, τὸν ἀδελφὸν θρηνοῦσιν.
Ὁ Νικοκλῆς ἐλάλησεν ὁ πρῶτος πρὸς τὸν ἄλλον
καὶ 'στρίγγισε « Καλλίμαχε, τίς ἐπολέμησέ σε·
Ἂν ἀπὸ ξίφους ἔλαβες καὶ ποῦ τὸ λάβωμάν σου;
Κεῖσαι νεκρὸς ἀναίματος· καὶ πῶς ἐθανατώθης;
Ἐκ νόσου | γέγονας νεκρός; καὶ πῶς οὐδὲν ἐτάφης; » (F.31,a.)
Ὁ δὲ Ξανθίππος δεύτερος τὴν τάξιν ταῦτα λέγει·
« λοιπὸν νεκρὸς Καλλίμαχος, οἱ δ' ἀδελφοί σου ζῶσιν
καὶ μετὰ θρήνου καὶ κλαθμοῦ νῦν παρακάθηνταί σοι,
καταφιλοῦσί σε νεκρόν, σὺ δ' ἀναισθήτως ἔχεις.
Ἂν γὰρ αἰσθάνου τὸν κλαθμὸν τῶν ἀδελφῶν σου τοῦτον,
νά τους συνέκλαυσες καὶ σὺ καὶ νά τους συνεπόνεις. »
Μετὰ γοῦν τοὺς ὀλολυγμοὺς ἐκείνους καὶ τοὺς θρήνους
καὶ τοὺς τοσούτους στεναγμοὺς καὶ τὰς φωνὰς ἐκείνων
περιπλακέντες τὸν νεκρὸν ὡσεὶ νεκροὶ σιγῶσι,
ἀφαιρεθέντες τὴν φωνὴν ἀπὸ τῶν στεναγμάτων,
καὶ πάλιν ἀναφέρουσιν μόλις τὴν ὄψιν τούτων,

νηρὰς. — 1380. ὁ. — 1381. τύχος. πλῆν μετα. — 1383. συνεγγὺς. — 1384. εὑρίσκουσι. ἐκείσαι νεκρομένον. Il ne faut pas écrire ἐκεῖ νενεκρωμένον. — 1385. ἄλαξαι. — 1386. ποίσε. γλυκήτερον. ἀρκεῖ. (Bk. ἀρχὴ). ἀποτόρα. — 1387. παρακαθήζουσιν ἐκεὶ. θρυνούσιν. — 1388. νικοκλῆς. ὁ πρώτος. — 1390. ἀποξύφους. λάβομάν. — 1391. κείσαι. — 1393. ὁ. ταύτα. — 1394. οἱ. ζώσιν. — 1395. μεταθρύνου. παρακάθυνταί. — 1396. καταφιλῶσει. ἔχης. — 1397. τούτων. — 1398. νατοὺς (*bis*). συνεπόνης. — 1399. μετα. ὀλολιγμοὺς. — 1401. περίπλακέντες τὸνεκρὸν ὡς οἱ. συγώσι. — 1402. ἀπο. — 1403. ὀψην. Je n'ai pas voulu corriger le mot τού-

ἀναζητοῦσι τὰς πληγάς, τὸν ἀδελφὸν γυμνοῦσιν,
εὑρίσκουσιν ἀντὶ πληγῶν τὸ θανατῶδες μῆλον,
πέριξ τοῦ μήλου γράμματα καὶ γράφουσιν ἐτοῦτα·
« εἴ τις ἀναίσθητος νεκρὸς μυρίσεται τὸ μῆλον,
αἴσθησιν λάβῃ παρευθύς, ἐξαναζήσει πάλιν. »
Ἐκεῖνοι γοῦν ἐγγίζουσι τὸ μῆλον εἰς τὴν μύτιν
τοῦ Καλλιμάχου τοῦ νεκροῦ καὶ παρευθὺς ἀνέστη
καὶ παρευθὺς ἀνάζησεν, ἐκάθησεν ἐκεῖνος,
εἶδεν ἐκεῖ τοὺς ἀδελφούς, ἐξαπορεῖ τὸ βλέπει.
| Οὗτος γάρ, ὡς ἀνέζησεν, ἀναζητεῖ τὴν κόρην (F. 31, b.)
καὶ μετ' αὐτῶν τῶν ἀδελφῶν ἐσέβην εἰς τὴν πόλιν
καὶ πάλιν μετὰ στεναγμῶν ἀναζητεῖ τὴν κόρην.
Οἱ δὲ « τί λέγεις, » λέγουσιν « τίνα δὲ κόρην κράζεις; »
παραφρονεῖν ἐλπίζοντες τὸν ἀδελφὸν ἐκείνων.
Ὁ δὲ καὶ πάλιν ἔτρεχεν, τὴν κόρην ἀνεζήτει,
ἐκείνην δὲ μὴ βλέποντα (;) ἐστρίγγιζεν, ἐβόα.
Οἱ δὲ συνέχουσιν αὐτόν, ἀναρωτοῦσι πάλιν,
ἐλπίζοντες ἀναίσθητον τοῦτον τὴν φύσιν ἔχειν.
Ἐκεῖνος πρὸς τοὺς ἀδελφοὺς τὰ πάντα καταλέγει,
πῶς εἰς τὸ δρακοντόκαστρον ἐσέβην μόνος τότε,
πῶς εὗρεν τὰς πολυτελεῖς λαμπρότητας ἐκείνας
καὶ εἰς τὸ κελλὶν τοῦ δράκοντος τὴν κόρην κρεμαμένην,
τοὺς ἀπανθρώπους ἐτασμοὺς τῆς παραξένου κόρης·
καὶ μετὰ τοὺς ἀνατασμοὺς τοῦ δράκοντος τὸν φόνον,
τὰς ἡδονάς, τὰς χάριτας τὰς μετ' αὐτῆς τῆς κόρης,

των qui me parait remplacer le mot αὐτῶν ou le simple των. V. le ἐκείνων v. 1400, 1417. — 1404. ἀναζητούσει. γυμνούσιν. — 1405. εὐρίσκουσιν ἀντι. θανατώδες μήλον. — 1406. περὶ. ἐτούτα. — 1407. μιρύσεται. μήλον — 1408. αἴσθησην λάβει. — 1409. ἐκείνοι. ἐγγύζουσι. μήλον. μίτην. — 1411. ἐκείνος. — 1412. εἶδεν ἐκεὶ. βλέπον. — 1413. οὗτος. κόριν. — 1414. μεταυτῶν. ἐσέβειν. — 1415. κόριν. — 1416. οἱ. λέγης. κόριν κράζης. — 1419. ἐκήνην. βλέπουσαν ἐστρήγγηζεν. — 1420. ἀναρωτώσει. — 1421. αναἴσθητον τούτον. — 1422. ἐκείνος. — 1423. ἐσέβειν. — 1424. εὗρεν. πολιτελεῖς. — 1425. κελὶν. κρεμμαμένην. — 1426. ἀπάνθρώπους. — 1427. δράκωντος. φώνον. — 1428. ἰδονὰς. χάρητας. μεταυτῆς.

τὸ κάλλος καὶ τὴν ἡδονὴν καὶ τὰς τρυφὰς ἐκείνας,
τὰς ἀμυθήτους χάριτας καὶ τέλος τὸ καρκάλλιν
καὶ πῶς πολύτροπος γυνὴ καὶ δαιμονώδης γραῖα
μετὰ κλαθμῶν καὶ στεναγμῶν καὶ πολυπλόκων λόγων
ἐπλάνησεν, καταίβασεν αὐτὸν ἀπὸ τοῦ τείχους·
« τὰ δ' ἄλλα γέγονα νεκρός, | τὰ δ' ἐφεξῆς οὐ λέγω. »(F.32,a.)
Καὶ πάλιν μετὰ στεναγμοῦ τὴν κόρην ἀνεζήτει.

Πληρώσας τὴν ὑπόθεσιν τοὺς ἀδελφούς, ὡς εἶχεν,
πάλιν θρηνῶν ἀναζητεῖ Καλλίμαχος τὴν κόρην.

« Ποῦ κάλλος, λέγων, γυναικῶν ἐπῆγες, ἀπεκρύβης;
Ἐθανατώθης ἐκ παντός, καὶ πῶς ἐθανατώθης,
καὶ πῶς οὐ βλέπω σε νεκράν; Καὶ γὰρ πικρὸν τὸ βλέπειν
τὴν σὴν ὁμόψυχον νεκρὰν καὶ θανατοσφαμμένην,
ὅμως παρακαθήσω σε, θρηνήσω, κλαύσομαί σε,
κρατήσω, περιλάβω σε, μυρολογήσομαί σε,
νεκρὰν καταφιλήσω σε. Καὶ πῶς τὸν λόγον λέγω
καὶ παρευθὺς οὐ γίνομαι νεκρὸς ἀπὸ τοῦ πόνου,
ἀλλὰ καὶ ζῶ καὶ λέγω το τὸ πικρολόγιν τοῦτο;
Πολὺν ἐγείρω κοπετόν, ἀνασπασθῶ καρδίαν,
κινήσω βρύσιν φοβερὰν καὶ ποταμοὺς δακρύων.
Καὶ πάλιν λούσομαι λουτρόν, ἀπὸ πικρῶν ὑδάτων·
ἐλούσθην πάντως μετὰ σοῦ λουτρὸν χαριτωμένον,
νῦν μετὰ σοῦ συλλούσομαι λουτρὸν ἀπὸ δακρύων.
Ἔρως ἐξυπηρέτησεν εἰς τὸ λουτρὸν ἐκεῖνον·
νῦν καὶ νεκράν σε συμπλακῶ — λιποθυμῶ τῶν λόγων. —

1429. κάλος. ἰδονὴν. τριφὰς. — 1430. ἀμυθάντους χάρητας. καρκάλιν. — 1431. δαιμονόδης γραία. — 1432. μετα. — 1433. κατέβασεν. τύχους. — 1435. μετα. — 1436. ὑπόθεσιν. εἴχεν. — 1437. θρηνὼν. — 1438. κάλος γέγονε. Bk. ἐπήγες. — 1441. ὁμόψυχον. θανατοσφαμένην. — 1442 δμως. κλαύσωμαί. — 1443. μυρολογήσωμαι. — 1445. γύνομαι. ἀπο. — 1446. πικρολόγην τούτο. — 1447. ἐγύρω. — 1448. βρίσην. — 1449. λούσωμαι. ἀπο. ὑδάτων. — 1450. μετα. χαρητομένον. — 1451. μετα. συνλούσωμαι. ἀποδακρίων. — 1452. ἐξεπηρέτησεν. ἐκείνον. — 1453. λυποθημῶ τὸν λόγον.

Τί γοῦν ἀργῶ, τί κάθημαι, τὴν ὥραν παρατρέχω,
οὐ τρέχω πρὸς ἀνεύρεσιν | καὶ ζήτησιν τῆς κόρης, (F. 32, b.)
ἀλλὰ καὶ ζῶ καὶ φαίνομαι καὶ βλέπω τὴν ἡμέραν
χωρὶς πνοῆς μου καὶ ζωῆς καὶ τῆς ἡμέρας δίχα; »
Καὶ λέγει πρὸς τοὺς ἀδελφούς· « Ἰδοὺ τὸ κάστρον τοῦτο
καλόν, λαμπρόν, ὁλόχρυσον, λιθομαργαρωμένον,
πηγὴ χρημάτων, ποταμὸς τῶν ὅλων πλουτισμάτων.
Εἰ βούλεσθε τὴν οἴκησιν, οἰκήσετε τὴν πόλιν,
εἰ δὲ καὶ μή, καὶ χρήματα καὶ λίθους καὶ μαργάρους
μετακομίσατε πολλοὺς εἰς τὴν ἡμῶν πατρίδα.
Ἐγὼ δ' ἀποχωρίζομαι τῶν ἀδελφῶν μου πάλιν
καὶ πρὸς τὴν ἀναζήτησιν τῆς κόρης ὑπαγαίνω. »
Ἀπεχαιρέτησεν εὐθύς, ἐκίνησεν, ἐξέβην·
περιπατῶν ὠδύρετο, πονῶν ἐπεριπάτει,
στενάζων καὶ μετὰ κλαθμοῦ περίτρεχεν τὴν χώραν,
οὐκ ἤθελεν οὐδὲ τὸ φῶς οὐδὲ τὸ φέγγος βλέπειν,
λέγων· « τὸ φῶς ἐχάσατο, τὸ φέγγος ἠστερήθην
καὶ σκοτεινόν, ὀδυνηρὸν περιπατήσω δρόμον
μετὰ θλιμμένου λογισμοῦ καὶ σκοτεινῆς καρδίας. »
Παρῆλθεν τόπους ἱκανοὺς ἀναζητῶν τὴν κόρην
μετὰ φωνῆς ὀδυνηρᾶς, μετὰ νεκροὺς τοὺς λόγους
καὶ μετὰ πόνων καὶ κλαθμῶν δεινῶν καὶ βαρυτάτων
ὅσους, εἰπεῖν, οὐδ' ἀριθμὸς δύναται νὰ μετρήσῃ,
κάμπους, βουνά, κλεισούρας τε | καὶ ποταμοὺς καὶ βράχη. (F.33,a.)
Οὐδὲ γὰρ ἤξευρε ποσῶς τὸν τόπον καὶ νὰ δράμῃ

V. le glossaire pour le génitif que j'ai restitué. — 1454. ὤραν. — 1455. ζήτιστην. — 1456. ἡμέραν.— 1457. πνωῆς. ἡμέρας.— 1458. τούτο. — 1459. ὀλόχρυσον λιθομαργαρομένον. — 1460. ὄλλων. — 1461. βούλεσθαι τὴν νίκησιν οἰκήσεται. — 1463. μετακομήσατε πολοὺς. — 1464. δὲ ἀποχωρίζωμαι. — 1465. ἀναζήτισην. ὑπαγένω. — 1466. ἀπεχερέτησεν. — 1467. ὀδίρετο πονῶν. — 1469. ἤθελεν. φῶς. — 1470. φῶς. — 1471. σκοτινὸν ὀδυνιρὸν. — 1472. μεταθλημένου. σκοτινῆς. — 1473. παριλθεν. ἱκανοὺς. ἀναζητῶν. χώριν. — 1474. μετα. ὠδινυρὰς. μετα. — 1475. μετα. βαριτάτων. — 1476. ὄσους. ναμετρίσει. — 1477. ἀλησούριτα. Bk. βράχει. — 1478. ναδράμει.

καὶ νὰ πληρώσῃ τὴν ὁδὸν, ναὔρῃ τὸ θέλημάν του,
ἀλλ' οὕτως, ἀνεπίγνωθα καὶ χώρις ἑρμηνείας
ἐπεριπάτειν, ἔτρεχεν, ἐγύρευεν τὸν τόπον
μὴ νὰ 'πιτύχῃ πούπετε ἄνθρωπον νὰ ἐρωτήσῃ.

Ἰδοὺ συντέμνει τὴν ὁδὸν ἡ μοῖρα Καλλιμάχου
ἀπὸ κακὸν εἰς τὸ κακὸν καὶ πάλιν εἰς τὸ χεῖρον.

Καὶ δὴ πρὸς ὥραν τέταρτον ἀπάρτι τῆς ἡμέρας
ἄνθρωπον εὗρε κάμνοντα τὴν γῆν μὲ τὸ ζευγάριν,
μελανηφόρον ἄνθρωπον, τὰς τρίχας κεκαρμένον.
Ἐπῆγεν, ἐχαιρέτησεν τὸν ἄνθρωπον ἐκεῖνον,
εἰπών· « ὡς φαίνει, καὶ αὐτὸς πόνον καὶ πένθος ἔχει. »
Ὡς εἶδεν γὰρ τὸ πένθιμον καὶ μελανὸν ἱμάτιν
καὶ τῶν τριχῶν τὴν ἐκτομὴν, εὐθὺς 'παρηγορήθην,
ἐλπίζων ἄνθρωπον εὑρεῖν θλιμμένον, πονεμένον
καὶ συμπενθήσειν, μετ' αὐτοῦ κοινώσεσθαι τοὺς λόγους.
Ἄνθρωπος γὰρ ἂν θλίβεται καὶ κάτσῃ μετ' ἀνθρώπου,
ἀνθρώπου πόνους ἔχοντος, ὀδύνας τε καὶ θλίψεις,
καὶ συναναχοινώσεται τοὺς πόνους μετ' ἐκεῖνον
παρηγορεῖται μερικῶς, ἀνασασμὸν εὑρίσκει.
« Ἄνθρωπε, βλέπω λυπηρὸν τὸ σχῆμά σου » τὸν εἶπεν, | (F.33,b.)
ἀφ' οὗ τὸν ἐχαιρέτησεν, καὶ πρὸς ὀλίγον ἔφην·
« φαίνει με πόνους νὰ βαστᾷς ἢ λύπην νὰ φυλάσσῃς. »
Ὁ ζευγηλάτης πρὸς αὐτὸν εἶπεν· « τὸ σχῆμαν τοῦτο,

1479. ναπληρώσει. ὀδὸν. ναύρει. — 1480. ἀλλούτως ἀνεπήγνωθα. ἑρμηνίας. — 1481. ἐπερηπάτην. — 1482. μήνα πητήχει. ναἐρωτίσει. — 1483. ὀδὸν. — 1484. ἀπο.χείρον. — 1485. ὤραν. ἡμέρας. — 1486. εὗρε. γὴν μετοζευγάρην. — 1487. κεκραυμένον. — 1488. ἐπήγεν ἐχερέτησεν. — 1489. ὠς. — 1490. οἶδεν. ἱμάτιν. — 1491. τρήχῶν. ἐκτωμὴν. — 1492. ἐλπήζων. εὑρεῖν θλημένον. — 1493. συνπενθήσειν μεταυτοῦ κοινώσεται. — 1494. θλήβεται. κάτζει. — 1496. συναναχηνώσεται. μετεκείνον. — 1497. παρηγορήται. εὑρήσκει. — 1498. σχήμα. ἤπεν. — 1499. ἀφοῦ. ἐχερέτησεν. ὀλύγον. ἔφειν. — 1500. να. ναφυλάσης. — 1501. ζευγελάτης προς. εἶπεν. σχήμαν τούτο.

τὸ σχῆμά μου τὸ πένθιμον, τῆς κεφαλῆς ἡ κάρσις
οὐκ ἀπὸ τύχης μου κακῆς καὶ συμφορᾶς ἐκείνης,
ἐκ δὲ σαλοῦ θελήματος ἠσβολωμένης κόρης.
Καὶ γὰρ οὐ μόνος μου φορῶ τὸ πένθιμον ἱμάτιν,
οὐδὲ τὰς τρίχας μόνος μου τὰς κεκαρμένας ἔχω,
ἀλλ' ὅλα πάντα σήμερον, κάστρα καὶ πόλεις πᾶσαι
καὶ πλῆθος ἀναρίθμητον ἀνθρώπων ἀμετρήτων,
ἐξ ὁρισμοῦ βασιλικοῦ μελενδυτοῦμεν πάντες,

Ὀλίγον ἀναγνώρισμα Καλλίμαχος εὑρίσκει
τῆς Χρυσορρόης τῆς χρυσῆς παρὰ τοῦ ζευγηλάτου.

τὴν δ' ἀλλαγὴν μὴ δέξεται τῆς γυναικὸς τὸ ῥῆμα.
Πεινῶμεν, ἀποθνήσκομεν νηστεύοντες τὸ κρέας.
Εἰς γὰρ τὸ δρακοντόκαστρον, ὡς λέγουσιν, εὑρέθη
τάχα γυνὴ καὶ δράκαινα, τοῦ δράκοντος ἡ κόρη,
καὶ ταύτην μετὰ μηχανῆς καὶ τέχνης πολυτρόπου
ἀπῆρέν την ὁ βασιλεύς, εἰς τὸ παλάτιν ἔχει.
Ἐκείνη γοῦν, ὡς λέγουσιν, ἐζήτησεν τὰς χώρας
ὡς μέλαν νὰ φορέσουσιν καὶ πρὸς τὸ σχῆμαν τοῦτο
τὸ σκοτεινὸν καὶ πένθιμον πάντες | ἐναλλαγῶσι· (F. 34, a.)
καὶ πρόσταγμα βασιλικὸν κοινῶς ἐξαπεστάλη
καὶ τὰ παιδίτζια τὰ μικρὰ τοῦτο τὸ βλέπεις φέρνουν
φορῶντα, περιτρέχοντα τὰς τρίχας κεκαρμένας.
Ἐκείνη δὲ ἡ δέσποινα καὶ τὸ παλάτιν ἔχει

1502. σχήμα. πένθημον. τὴν κάρσην. — 1503. οὐκαποτύχης. συμφορὰς ἐχήνης. — 1504. ἧς βουλυσμένης. — 1505. φωρῶ. πένθυμον ἱμάτην. — 1506. κεκραμένας. — 1507. ὅλαι πάλιν. πάσαι. — 1508. πλήθος ἀναρήθμητον. — 1509. ἐξορησμοῦ βασιληκοῦ μελενδυνοῦμεν. — 1510. ἀναγνόρισμα. εὐρήσκει. — 1511. παρατοῦ. — 1512. τὸ δ' ἄλλο γήμη. σώμα. — 1513. πεινώμεν ἀποθνήσκωμεν νηστευοντες. — 1514. ὡς. εὐρέθει. — 1515. ἡ. — 1516. μετα. — 1517. ἀπήρεν. ὁ. — 1518. ἐχήνη. ὡς. ἐζήτισεν. — 1519. ναφωρέσουσιν. σχήμαν τούτο. — 1520. σκοτινὸν. πένθυμόν. ἐναλαγώσι. — 1521. ἐξαπεστάλει. — 1522. τούτο. βλέπης. — 1523. φορώντα. κεκραμένας. — 1524. δέσπινα.

καὶ τοὺς πτωχοὺς ἐφόρεσεν τὴν καταδίκην ταύτην. »
Ἐκεῖνος ἀνεγνώρισεν ἀπὸ τῶν λόγων τούτων
ὁλόκληρον καὶ γνώρισμαν, ὑπόθεσιν τῆς κόρης.

Ναὶ μοιρογράφημα κακόν, ναὶ μαινομένη τύχη,
τὸ θελητὸν ἐκπλήρωσον τὸ κακοτυχημένον.

Εὐθὺς ἀπεχαιρέτησε τὸν ζευγηλάτην τότε
καὶ μετὰ πάσης τῆς σπουδῆς, μετὰ πολλοῦ τοῦ δρόμου
ἔτρεχεν, ὅλην τὴν ὁδὸν ὀλιγοψύχως ἔχων
ὡσεί τι πάσχων ἄρρητα ἀπὸ μικροψυχίας.
Καὶ καθ' ὁδὸν ὑπήντησεν ἀνθρώπους κουρεμμένους,
μετὰ πενθίμου σχήματος μελανηφόρους ὅλους,
καὶ πάλιν ἀνερώτησεν τοῦ σχήματος τὸν τρόπον
καὶ πάλιν ἤκουσεν αὐτοὺς τοὺς λόγους τοὺς προτέρους·
« πῶς ἐκ τὸ δρακοντόκαστρον ὁ βασιλεὺς ἀπῆρεν
τὴν δράκαιναν καὶ δέσποιναν εἰς τὸ παλάτιν ἔχει
καὶ πρὸς δρακαίνης θέλημαν μελενδυτοῦμεν ὅλοι.
Καὶ τί βαστάζεις, οὐρανέ, καὶ δὲν χαλᾷς καὶ πίπτεις,
γῆ καὶ οὐδὲν διχάζεσαι καὶ μόνην καταπίνεις
ὁποῦ μας ἐκονόμησεν τὴν συμφορὰν ἐτούτην; »
Μανθάνει πάλιν καὶ μικρὸν συνεπαρηγορήθην
καὶ γίνεται | θερμότερος, εἰς τὸ παλάτιν τρέχει, (F. 34, b.)
ἀλλ' ὅτι μὴ παρὰ στιγμὴν εἰς τὸ παλάτιν φθάνει,
στενοχωρεῖται τὸν καιρόν, ἀγανακτεῖ τὴν ὥραν

1526. ἐκείνος. — 1527. ὀλόκληρον. ὑπόθεσιν. — 1528-1529. Ces deux vers sont écrits dans le manuscrit tout le long en bas des feuillets 33 b.—34 a. Je crois avoir bien fixé leur place ici. — 1530. ὑπεχαιρέτησε. ζευγελάτιν.—1531. μετα (*bis*). πολοῦ. — 1532. ὅλην. ὀδὸν ὀλυγοψύχως — 1533. ὡς καί. ἄρητα. μηκροψυχήας. — 1534. καθοδὸν ὑπήντισεν. κορεμένους. — 1535 πενθύμου. ὄλους. — 1536. ἀνερώτισεν του. — 1537. πρωτέρους. — 1538. ἀπήρεν. — 1539. δέσπιναν. — 1540. προς. μελενδητούμεν δλλοι. — 1541. βαστάζης. χαλὰς. πήπτεις. — 1542. γὴ. διχάζεσε. καταπίνης. — 1543. ὁπουμας. — 1544. μηκρὸν. — 1545. γύνεται. — 1546. καὶ παρα. — 1547. στενοχωρήται. ὦραν.

καὶ κατακρίνειν ἤρξατο τὴν τῶν ἀνθρώπων φύσιν,
ὅτι μὴ ταύτην ἔπλασεν ὑπόπτερον νὰ τρέχῃ.
Τὸ γὰρ καλὸν καὶ θαυμαστὸν ἐκεῖνον δακτυλίδιν
τὸ χαριζόμενον πτερὰ τὴν τῶν ἀνθρώπων φύσιν
ἀπώλεσεν ὡς ἔτυχεν ὅταν ἐθανατώθην.
Τρία καὶ γὰρ ἐφάνησαν πράγματα παρὰ φύσιν,
τὸ δακτυλίδιν τὸ χρυσὸν τοῦτο, τὸ χάριν ἔχον
ἄν τις αὐτὸ πρὸς χέριν του φορέσῃ, νὰ πετάσῃ·
καὶ τὸ καρκάλλιν τὸ λαμπρὸν, τὸ μεμαργαρωμένον
ὅπερ ἐντὸς εὑρέθηκεν τοῦ δράκοντος τοῖς οἴκοις,
τὸ χάριν ἔχον, ἂν τμηθῇ σάρκα καὶ παρὰ φύσιν
καὶ μώλωπας καὶ τραύματα ἀνθρώπου παρὰ φύσιν,
ὅσα παρὰ τὴν δύναμιν εἴπῃς, ἄν το φορέσῃ,
τοῦτο τὸ λαμπροκάρκαλλον εὕρῃ τὴν θεραπείαν·
καὶ τρίτον τὸ κακότροπον τοῦτο τῆς γραίας μῆλον
τὸ φύσιν ἔχον θανατεῖν καὶ πάλιν ζῆν καὶ βλέπειν.

Ἂν πρὸς μικρὸν ἐξέβημεν τοῦ λόγου καὶ τῆς στράτας,
αὖθις τοῦ λόγου τὴν ὁρμὴν κρατήσωμεν καὶ πάλιν.

Ὅμως ποτὲ μετὰ πολλοῦ τοῦ δρόμου καὶ τοῦ κόπου
εἰς τὸ παλάτιν ἔφθασεν καὶ τὸ παλάτιν εἶδεν,
εἶδεν ἐκεῖ τὸ πένθιμον, | μελανηφόρον σχῆμαν (F. 35, a.)
καὶ τὸ τριχοστρογγύλισμαν τῶν πολιτῶν ἐκείνων
καὶ μετὰ ξένου σχήματος ὥσπερ ὁδίτης ξένος
πρὸς τὸ παλάτιν ἔφθασεν, ἐκάθησεν ὡς ξένος.

1549. ὅτι μοι. ὑπόπτερον νατρέχει. — 1550. δακτιλύδην. — 1552. ὅταν. — 1553. πάρα. — 1554. δακτυλίδην. τούτο. ἔχων. — 1555. φωρέσει να-πετάσει. — 1556. καρκάλιν. μεμαργαρομένον. — 1557. εὑρέθηκέν. — 1558. ἔχειν. τμηθεῖ. παρα. — 1559. ἂν μώλοπας. παρα. — 1560. ὅσα πα-ρα. δύναμην. ἀντοφορέσει. — 1561. τούτο. λαμπροκάρκαλον. εὕρει. θερα-πίαν. — 1562. τούτο. μήλον. — 1563. ἔχων. ζεῖν. — 1564. μηκρόν. — 1565. αὖθυς. ὁρμὴν. Ces deux vers sont écrits dans le ms. à la suite l'un de l'autre. — 1566. πολοῦ. — 1567. εἶδεν. — 1568. εἶδεν ἐκεῖ. πένθυμον. μελανοφόρον σχήμαν. — 1569. τριχοστρογγίλισμαν. — 1570. μετα.

Μελανηφόρον εὕρηκεν γυναῖκαν καθημένην,
ἦλθεν εἰς λόγους μετ' αὐτῆς, καὶ μετὰ λόγους ἄλλους
τῆς κόρης τὴν ὑπόθεσιν ἤρξατο καταλέγειν,
τὸ πῶς ἡρπάγην τὴν ἀρχὴν ἡ κόρη μετὰ δόλου
καὶ μετὰ πάσης μηχανῆς καὶ μαγικοῦ τοῦ τρόπου
καὶ πῶς οὐκ ἐγαλήνισεν ἐκ τῶν κακῶν ἐκείνη,
ἀλλ' ἔχει πάντοτε κλαθμὸν καὶ στεναγμοὺς καὶ θρήνους,
καὶ πάλιν πῶς ὁ βασιλεὺς ἐξέβην εἰς ταξίδιν
καὶ πόσον ἔχει τὸν καιρὸν καὶ πόσην ἔχει μάχην.
Ἡ κόρη δὲ ἀπέμεινεν μόνη, μεμονωμένη,
εὗρε καιρὸν τοῦ στεναγμοῦ καὶ τοῦ κλαθμοῦ τὴν ὥραν.
Καθ' ὥραν γὰρ ὀλιγωρεῖ, κατὰ στιγμὴν στενάζει,
ὄνομα κράζει καὶ θρηνεῖ καὶ παρευθὺς νεκροῦται,
κράζει, δοκῶ, Καλλίμαχον, Καλλίμαχον στριγγίζει·
ἂν τύχῃ δὲ Καλλίμαχος ὁ δράκων ἐκαλεῖτο.
Δράκαινα γὰρ ἡ δέσποινα, ὡς λέγουσι τὴν κόρην,
ἀλλὰ τὸ σχῆμα τὸ γλυκὺ τῆς κόρης οὐκ ἐκφαίνει.
Κἂν καὶ τῶν θρήνων καὶ κλαθμῶν ἀνατροπὴν οὐκ ἔχει,
ἂν εἶδες κάλλος, ἄνθρωπε, τῆς γυναικὸς ἐκείνης
πῶς ἐμα | ράνθη πρὸ καιροῦ ἀπὸ κλαθμοῦ καὶ πόνου, (F.35,b.)
ὡς ἐν τῷ θέρει ψύγεται πολλάκις καὶ τὸ ῥόδον,
πλὴν κἂν ψυγῇ καὶ μαρανθῇ, πάλιν ἀνθεῖ τὴν χάριν.
Ὅταν ἐκ πόνου καὶ κλαθμοῦ λιποθυμήσῃ, πέσῃ,
εἰ μή την φθάσῃ τὸ νερόν, ποσῶς οὐκ ἀναφέρει.
Οἱ τάχα γοῦν παρήγοροι καὶ φύλακες τῆς κόρης
μετὰ μεθόδου τὸ νερὸν ἐποίκασιν νὰ τρέχῃ.

1572. εὕρηκεν. — 1573. μετα. — 1574. ὑπόθεσιν. — 1575. ἡρπάγειν. μετα. — 1576. μετα. μερικοῦ. — 1577. οὐκεγαλύνησεν. — 1578. θρύνους. — 1579. πῶς πάλιν ὁ. ταξήδην. — 1581. ἡ. ἀπέμηνεν. μεμονομένη. — 1582. εὗρε. ὥραν. — 1583. καθῶραν. — 1584. θρινεῖ. νεκροῦται. — 1586. ἀντύχει ἐκαλείτο. — 1587. δέσπινα ὡς λέγουσει. — 1588. σχῆμα. γλυκὴ. ἐκφένει. — 1589. καί τον θρήνον. κλαθμόν. οὐκέχει. — 1590. οἶδες κάλος. ἐκήνης. — 1591. ἐμαράνθει προ. ἀπο. μόνου. — 1592. ψυγεται πολάκις. — 1593. κάν. μαρανθεῖ. — 1594. ὅταν. λυποθυμήσει πέσει. — 1595. εἴ. τὴν φθάσει. οὐκαναφαίρει. — 1597. μετα. νατρέχει.

Απλῶς ἂν εἶδες τὸν κλαθμὸν καὶ θρῆνον τὸν τῆς κόρης,
νὰ φρίξῃς! Ἐξεμώρανεν πᾶσαν ἀνθρώπου φύσιν,
ἀπὸ δὲ τοῦ θρηνήματος εἰς τέλος ἀπελείφθην.
Ἐκεῖνος ἀνεστέναξεν, εἶπεν « πονῶ τὴν κόρην »,
τάχα μικρὸν ἐβάσταξεν, εἶτα λιποθυμήσας
ἔπεσεν ἄψυχος, νεκρός· ἀνασασμὸν οὐκ εἶχεν.
Ἀνέστησέν τον ἡ γυνή, λέγει τον· « τί πανθάνεις;
Ἐκεῖνος εἶπεν· « ἀδελφή, καὶ ταῦτα τά με λέγεις
εἰς θρῆνον νὰ κινήσουσιν καὶ τοὺς ἀψύχους λίθους. »
Ἐκείνη λέγει πρὸς αὐτόν· « ἀπῶνα λόγον μόνον
ἐσυνετρίβης τὴν ψυχήν, ἐθλίβης τὴν καρδίαν;
Λοιπὸν ἂν ἐπερίτρεχες, ἂν ἔτυχες, ἂν εἶδες,
νὰ παραλύθῃς ἐκ παντός, νὰ παρατράπῃς τότε. »
Ἀλλὰ ἐκεῖνος δύναμιν οὐκ εἶχεν ἀπομένειν,
οὐδὲ βαστάζειν στέρησιν τῆς ποθουμένης κόρης,
εὐθὺς ἐμετεκάθησεν, ἐπῆγεν εἰς τὸν κῆπον.

Ὡς οἶδεν, ὡς ἐγνώρισεν, ὡς ἔμαθεν τὰ πάντα,
Καλλίμαχος μετέβηκεν, ἔρχεται πρὸς τὸν κῆπον.

Ναὶ μοιρογράφημα κακόν, ναὶ μαινομένη τύχη,
ἄλλαξε τὸ κακόγνωμον καὶ παρηγόρησέ το
καὶ ποῖσέ το γλυκύτερον καὶ βάλε το εἰς τέλος. | (F. 36,a.)

Εὗρεν ἐκεῖ τὸν κηπουρὸν ποτίζοντα τὸν κῆπον,
ἐκάθησέν ἐφ' ἱκανὸν πρὸς τὴν τοῦ κήπου θύραν,
ἐκάθησεν, ἐγνώρισεν ἀπὸ νεροῦ τὴν φλόγαν
καὶ τὸ καμίνιν καὶ τὸ πῦρ καὶ τὴν τῆς κόρης φλόγαν,

1598. ἀπλῶς ἀνοῖδες. θρύνον. — 1599. να. ἐξεμόρανεν πάσαν. — 1600. ἀποδὲ. θρήνήματος. ἀπελήφθην. — 1601. εἶπεν. — 1602. μηκρὸν. λυποθυμήσας, — 1603. εἶχεν. — 1604. ἡ. πανθάνης. — 1605. εἶπεν. ταύτα. λέγης. — 1606. θρύνον νακυνήσουσιν. — 1607. ἀπόνα. — 1609. ἐπερέτρεχες. ἀνοῖδες, — 1610, ναπαραλήθεις. να. — 1611. ἐκείνος ἀλλὰ. είχεν. — 1612. στέρησην. — 1613. ἐπήγεν. κύπον. — 1614. οἶδεν. — 1615. προς. κήπον. — 1617. ἄλαξε. κακόγνομον. παριγόρησέ. — 1618. ποίσε. γλυκήτερον. — 1619. εὖρεν ἐκεὶ. κύπον. — 1620. ἐφηκανὸν. — 1621. ἐγνώρησεν

θέλων λαλῆσαι καὶ σιγῶν καὶ λογισμὸν συνάγων.
Ὀρίζει γὰρ καὶ κράζουσι τὸν κηπουρὸν αὐθώρη,
καὶ μετ' αὐτὸ τὸ κράξιμον ψυχὴν ἐξανεσπᾶτο·
« ἄγωμε, βάλε, κηπουρὲ, νερὸ εἰς τὴν βισκίναν,
τὸ σουληνάριν γέμισε τὸ ἔλεγα νὰ τρέχῃ,
νὰ βρέχεται κατὰ στιγμὴν ἡ δέσποινα, καθ' ὥραν. »
Αἷμαν εὐθὺς ἐστάλαξεν εἰς τὴν ψυχὴν ἐκείνου·
λέγει· « καλὸν τὸ κάθησθαι, οὐκ ἔνι δὲ προσμένειν,
καταναμένειν τὸν καιρὸν καὶ καρτερεῖν τὴν ὥραν·
ἀλλ' ἔμπω πρὸς τὸν κηπουρὸν καὶ χαιρετήσω τοῦτον. »
Εὐθὺς ἀνέστην, ἔρχεται, 'σεβαίνει πρὸς τὸν κῆπον
καὶ χαιρετᾷ τὸν κηπουρὸν καὶ λέγει πρὸς ἐκεῖνον·

Βλέπε τῆς τύχης τὴν φορὰν, τὸ κλῶσμαν τὸ τοῦ χρόνου·
μὴ μακαρίσῃς ἄνθρωπον ποτέ σου πρὸ τοῦ τέλους.

« Καλῶς εὗρον τὸν κύριν μου· πολὺν τὸν κόπον ἔχεις.
Θαυμάζω πῶς τον ἐμπορεῖς, θαυμάζω πῶς βαστάζεις,
καὶ τόδε γέρων ἄνθρωπος μόνος εἰς τόσον κῆπον. »
Ἐκεῖνος λέγει· « τέκνον μου, τὸν κῆπον μὲν βαστάζω,
ἀλλὰ τὸ νεροφόρημαν οὐ δύναμαι δουλεύειν·
ἀνάθεμα | καὶ τὸν καιρὸν, ἀνάθεμα τὴν ὥραν, (F. 36, b.)
ὅταν αὐτὴν τὴν δέσποιναν εἰς τοῦτο τὸ παλάτιν
ἀπήρασιν ἐφέρασιν τὰ μαγικὰ τῆς γραίας.
Αὐτὴν ἐξετζυγάρισεν· ἡμεῖς ἀγανακτοῦμεν

ἀπο.— 1622. καμήνην. πὺρ. — 1623. θέλω λαλήσαι. συγὼν. — 1624. ὀρίζει. κράζουσει. ἐθώρει. — 1625. μεταυτὸν. κράξημον. ἐξανεσπάτο. — 1626. βισκήναν. — 1627. σουληνάρην γέμησε. νατρέχει.— 1628. στυγμὴν ἡδέσπινα καθόραν. — 1629. αἷμαν. — 1630. κάθησε. καὶ. — 1631. καταναμαίνειν. ὥραν. — 1632. κυπουρὸν. τούτον. — 1633. ανέστην. κήπον. — 1634. χαιρετὰ. εκείνον. — 1635. κλόσμαν. χρώνου. — 1637. εὗρον. κήριν. πολὶν. ἔχης. — 1638. τονεμπορῆς. βαστάζης. — 1639. τότε (Bk. τοῦτο). γέρον. μόνον. κήπον. — 1640. κόπον οὐ. — 1641. ναιροφώρημαν. δουλεύειν. — 1642. ὥραν. — 1643. ὅταν. δέσπιναν. τούτο. παλάτην. — 1644. ἀπήρασειν. — 1645. ἐξετζηγάρισεν. ἀγανακτούμεν.

καὶ κόσμος ὅλος μελανῇ ἐδάφη καταδίκη. »
Καὶ πάλιν ὁ Καλλίμαχος τὸν κηπουρὸν ἐλάλει·
« μέγας ὁ κῆπος ὡς ὁρῶ καὶ μέγαν κόπον ἔχει,
ὅμως ἐγὼ καὶ κηπουρὸς, ἐγὼ πτωχὸς καὶ ξένος·
ἂν θέλῃς μισταρεύσου με μετὰ ψωμὶν καὶ μόνον. »
Ὁ κηπουρὸς ἐπνίγετον καὶ μισταργὸν ἐζήτα
καὶ σύντροφον ἐγύρευεν εἰς τοῦ νεροῦ τὸν κόπον·
ὡς εὗρε τοῦτον ἄγουρον, ξένον, ἐξ ἄλλης χώρας
νέον δυνάμενον ἀρκεῖν εἰς τὸν τοσοῦτον κόπον
. . . .
Καὶ τὸν μὲν κηποφύλακα τὸν γέρονταν ἐκεῖνον
καλὸν ἐφάνη τὸ πραχθὲν πρὸς τὸν τοσοῦτον κόπον,
τὸν δὲ Καλλίμαχον αὐτὸν, τὸν μισταργὸν ἐκεῖνον
ὑπέρκαλον εἰσέδοξεν, γλυκύτερον ἐφάνη,
λέγων εἰς νοῦν καὶ λογισμόν· « ἐγὼ δουλεύσω πάλιν
τὸ σῶμα τὸ παράξενον τῆς ἀσυγκρίτου κόρης·
ἐγώ ποτε τὰ τραύματα, τοὺς μώλωπας, τὰ πάθη
ἀνεμασσόμην, ἔβλεπα, ἔδιδα θεραπείαν,
ἐγὼ καὶ πάλιν σήμερον καλῶς ὑπηρετήσω,
νεροφορήσω, τὸν καιρὸν παρηγορήσω ταύτης.
Ἂν ἤξευρες τὸν δουλευτὴν τοῦ δροσισμοῦ σου τούτου,
τὴν φλόγαν σου | τὴν τῆς ψυχῆς ὅλην καταδροσίσῃς. (F.37,a.)
Ὅμως ἐγγὺς ὁ δροσισμός· εὐχαριστῶ τὴν τύχην,
ὅτι καὶ πάλιν μετὰ σοῦ φέρει μοιρογραφῆναι. »

1646. ὅλος μελανεῖ. — 1647. ὑ. — 1648. ὁ κήπος. ὁρῶ. κήπον. — 1649. κυπουρὸς. — 1650. μησταρεύσου. μεταψομὴν. — 1651. ὁ. ἐπνήγεγετον. μησταργὸν. La consonne de ce mot et de ses composés varie dans le manuscrit entre τ et θ; j'ai conservé les deux avec le plus grand soin ; d'ailleurs, le mot est écrit dans tous les cas avec η. — 1652. ἐγήρευεν. — 1653. ὡς εὗρε τούτον ἄγγουρον. ἐξάλης. — 1654. τοσούτον. — 1656. ἐφάνει τοσούτον. — 1658. ὑπερκαλὸν εἰς ἔδειξεν γλυκήτερον ἐφάνει. — 1659. εις. και. — 1660. σώμα. ἀσυγκρήτου. — 1661. ποτὲ. μόλοπας. πάθει. — 1662. ἀναιμασώμην. ἔδηδα θεραπίαν. — 1663. ὑπηρετήσω. — 1664. ταύτην. — 1665. δροσυσμού. — 1666. ὅλην κατεδροσίσης. — 1667. ὅμως. — 1668. ὅτι. μετα. μοιρωγραφῆναι.

Στενάζει, βάλλει τὸ νερόν, ποτίζει καὶ τὸν κῆπον,
μυρολογεῖ τραγῴδημαν, τούτους τοὺς λόγους λέγει·

Ἰδοὺ τὸ μυρολόγημαν τοῦ ξένου Καλλιμάχου
τοῦ μισθαργοῦ, τοῦ κηπουροῦ, τοῦ νεροκουβαλήτου.

« Στῆσον ἀπάρτι, τύχη μου, πλάνησιν τὴν τοσαύτην,
στῆσον τὴν κακοπάθειαν καὶ τὸν παραδαρμόν μου,
στῆσον τὸ τόσον μανικὸν καὶ τὸ κακόγνωμόν σου.
Ἀρκοῦσι τά μ' ἐλύπησες, ἀρκοῦν αἱ συμφοραίς μου.
Τύχη, καὶ τί τό σ' ἔπταισα, τύχη μου τί σ' ἐποῖκα
καὶ τί παράλογον πρός σὲ ποτέ μου ἐνεθυμήθην
καὶ τόσον τυραννίζεις με καὶ τόσον κακουχεῖς με;
Καὶ τὸ νεροκουβάλημαν καὶ τὸ μιστάργωμά μου
ἔχεις τα σὺ πρὸς ἔλεγχον καὶ χόρτασον ἀπάρτι.
Σελήνη μου καλόφωτε, βλέπεις τί τυραννοῦμαι·
καὶ γὰρ βραδύ, παρακαλῶ, πέμψον μικρὰν ἀκτῖναν
εἰς τὸ παλάτιν ἂς ἐβδῇ, κανεὶς μηδέν την ἴδῃ,
τὴν Χρυσορρόην ἂς εἰπῇ τὸ συχχαρίκιν τοῦτο·
« τὸν ἀγαπᾷς εὑρέθηκεν, ἀνέστη τὸν ἐξεύρεις
καὶ σήμερον ὡς μισθαργὸς κηπεύει πρὸς τὸν κῆπον
νερὸν καὶ τὴν βισκίναν σου | γεμίζει την καθ' ὥραν, (F.37, b.)
φλόγα νὰ σβύσῃ τῆς ψυχῆς, κόρη, τῆς ἰδικῆς σου.
Ἀλλὰ τὴν δρόσον τῆς φλογὸς τῆς ἐρωτοκαμίνου
τὰ χείλη τού την γέμουσιν, τὸ σῶμάν τού την γέμει. »
Ποῖσε, σελήνη, μηχανήν, ποῖσε, σελήνη, πρᾶξιν. »

1669. βάλει. κήπον. — 1670. μοιρολογεῖ τραγώδιμαν. — 1671. μοιρολόγημαν. — 1673. στήσον. πλάνην τὴν εἰς. — 1674. τήσον. — 1675. στήσον. — 1876. ἀρκούσει τὰ μελύπησες. αἰ. — 1677. σέπτεσα. τίσε ποίκα. — 1678. προς. — 1679. τυρανήζης. κακουχῆς. — 1680. μηστάργομά. — 1681. ἔχης. χόρτασην. — 1682. καλώφοτε. βλέπης. τυρανούμαι. — 1683. μηκραν ἀκτίναν. — 1684. παλάτην ἀσεβεῖ. ἤδη. — 1685. χρησωρόην ἂς εἰπεῖ. συχαρίκην τούτο. — 1686. τοναγαπᾶς εὑρέθηκεν ἀνέστει. ἐξεύρης. — 1687. κηπευη. κήπον. — 1688. βισκήναν. γεμήζη. καθώραν. — 1689. νασβήσει. — 1690. ἐροτοκαμήνου. — 1691. τα. του τὴν (bis). σώμαν. — 1692. ποίσε. μιχανὴν. πράξιν.

Τοῦτο πολλάκις ἔλεγεν αὐτὸς τὸ μυρολόγιν,
ἐτρέχασιν τὰ ὀμμάτια του ὡς τρέχει τὸ ποτάμιν·
καὶ μὲ τὸ κηποπότισμαν ὀλίγον κατ' ὀλίγον
εἰς τὸ παλάτιν ἔφθασεν, ἀνέβην, ἐγνωρίσθην.
Τοῦ κηπουροῦ τὸν μισθαργόν, τὸν νεροφόρον τούτου
ἅπαντες κατεγνώρισαν, ἐπρόσεχαν, ἠξεῦραν.
Ἀναγνωρίζει τὸν κλαυθμὸν ὀκάποτε τῆς κόρης,
εἰς τὴν φωνὴν ἀναισθητεῖ, νεκρὸς ἐπαπομένει.
Καὶ πάλιν ἀπὸ τῆς φωνῆς συντόμως ἐμψυχοῦται·
καὶ κράζει τὸν Καλλίμαχον ἡ κόρη μετὰ πόνου,
μετὰ φωνῆς ἐρωτικῆς καὶ λυπημένου λόγου,
τὴν Καλλιμάχου σύρριζον ἐξανασπᾷ καρδίαν.
Λιποθυμεῖ Καλλίμαχος εἰς τὴν φωνὴν τῆς κόρης.
Ἀλλ' ὅτε παρακάθηται μόνος ἐγγὺς τῆς κόρης
καὶ τὴν συναναγνώρισιν ἐλπίζει μετ' ὀλίγον.
Ἡμέραν ὅλην τὰς φωνὰς τῆς κόρης οὐ βαστάζει
καὶ πνίγεται τὰς πνιγμονάς, ἀγανακτεῖ τοὺς πόνους,
ἀλλ' ὑποφέρει καὶ ζητεῖ καὶ μηχανᾶται τέχνην
πῶς ἤδει λάθῃ τοὺς πολλοὺς καὶ γνωρισθῇ τῇ κόρῃ | (F.38,a.)
καὶ στήσει ταύτης τὸν κλαυθμόν. Ἀλλὰ φοβᾶται πάλιν
μὴ γνωρισθῇ καὶ τὴν σιγὴν τῆς κόρης ἐκφαυλίσῃ.
Λοιπὸν ἀναλογίζεται καὶ κατὰ νοῦν φροντίζει
πῶς συλλαλήσει μετ' αὐτῆς καὶ πῶς τὸ πλῆθος λάθῃ.
Φροντίζει, κατακόπτεται, τὸν λογισμὸν δονεῖται·
μόλις ποτὲ μετὰ πολλὰς καὶ συνεχεῖς φροντίδας
ταύτην εὑρίσκει μηχανὴν εἰς γνώρισμαν τῆς κόρης.

1693. τούτο πολάκις. μηρολόγην. — 1694. ἐτρέχασειν. ὀμάτια. — 1695. μετο. κατολύγον. — 1696. ἐγνωρήσθην. — 1698. ἅπαντες κατεγνώρησαν. ἠξεύραν. — 1699. ἀναγνωρήζει. ὀχάποτε. — 1700. ἐπάπομένει. — 1701. ἀπο. ἐμψυχούται. — 1702. καλήμαχον. μετα. — 1703. μετα. — 1704. σύρηζον. — 1705. λυποθημεῖ. χώρης. — 1706. ἀλλότε. μόνον. — 1707. συναναγνώρισην ἐλπήζει μετολύγον. — 1708. ἡμέραν δλην. — 1711. ἴδη. γνωρησθεῖ. — 1712. φωβάται. — 1713. γνωρησθεῖ. ἐκφαυλίσει. 1714. κατα. — 1715. συλαλήσει μεταυτῆς. πλήθος λάθει. — 1717. μετα. — 1718. εὑρίσκει.

Ὅταν γὰρ συνελούσθησαν εἰς τὸ λουτρὸν ἐκεῖνον,
ἐκεῖνον τὸ παράξενον λουτρὸν τοῦ χρυσοκάστρου
τὸ γέμοντα τὰς ἡδονὰς καὶ χάριτας παντοίας,
δακτυλοδόπουλον μικρὸν ἐπῆρεν ἐκ τὴν κόρην,
ὅπερ αὐτῇ ἡ δέσποινα καὶ μάνα της ἐδῶκεν
καὶ τοῦτο μόνον γνώρισμαν τῶν γεννητόρων εἶχεν.
« Ἐκείνη πάντως ἂν ἰδῇ τὸ δακτυλίδιν τοῦτο
εὐθὺς γνωρίσει τὸ λοιπόν, ἀναγνωρίσει πόθεν
καὶ πῶς εὑρέθη σήμερον, πῶς ἦλθεν εἰς τὸν κῆπον.
Καὶ μετ' αὐτῆς τῆς μηχανῆς καὶ μετ' αὐτοῦ τοῦ τρόπου
ἀναγνωρίσομεν ἡμεῖς, κἂν καὶ δοκῇ τῇ τύχῃ,
— τῶν γὰρ πραγμάτων τὴν φορὰν ἡ τύχη περιφέρει —
ἐγὼ γνωρίσω παρευθύς, τὴν κόρην περιλάβω,
ἐκείνη τὸν Καλλίμαχον ἀναγνωρίσει πάλιν,
μετὰ τὴν ἀναγνώρισιν εὐθὺς καὶ συμπλακοῦμεν,
καὶ τρέμω μήπως τὰς ψυχὰς εὐθὺς συννεκρωθῶμεν | (F. 38, b.)
ἀπὸ φρικτοῦ τοῦ πράγματος, ἐξ ἀνεκφράστου τρόπου,
καὶ συμπλακῶ τὰς χάριτας τῆς ἀσυγκρίτου κόρης,
ἀναψυχώσωμεν νεκρὰς ψυχὰς καὶ τεθλιμμένας.
Αὐτὴν συστρέψω κατὰ νοῦν ἅπασαν τὴν μελέτην. »
Ἐπιχειρεῖ καὶ μηχανήν, ἐπιχειρεῖ καὶ τρόπον
τὴν κόρην μετὰ προσοχῆς νὰ 'δῇ καὶ νὰ συντύχῃ.
Ἐπῆγεν, ἀπεκύττασεν δενδρὸν ἀπὸ τοῦ κήπου,
εἰς ὃ πολλάκις ἤρχετο μετὰ κλαυθμοῦ ἡ κόρη

1719. ὅταν. — 1720. χρησοκάστρου. — 1721. ἡδονὰς. χάρητας παντίας. — 1722. δακτιλυδόπουλον μηκρὸν ἐπήρεν. — 1733. αὐτὴ. δέσπινα. ἐδόκεν. — 1724. τούτο. γενητόρων εἶχεν. — 1725. ἴδεῖ. δακτιλύδην τούτο. — 1726. γνωρήσει. ἀναγνωρήσει. — 1727. εὑρέθει. κήπον. — 1728. μεταυτῆς. μεταυτοῦ. — 1729. ἀναγνωρήσωμεν ἡμεῖς. δοκεῖ. - 1730. ἡ. — 1731. γνωρήσω. — 1732. ἀναγνωρήσει. — 1733. ἀναγνώρησην. συμπλακούμεν. — 1734. συνεκροθῶμεν. — 1735. ἀποφρυκτοῦ. ἐξανέκφρ. — 1736. χάρητας. ἀσυγκρήτου κώρης. — 1737. ἀναψυχῶσω καὶ. τεθλημένας. — 1738. κατα. ἅπασαν. μελέτιν. — 1739. ἐπιχηρεῖ (*bis*). — 1740. μεταπροσωχὰς ναδεῖ. νασυντίχει. — 1741. ἐπήγεν ἀπεκήτασεν δένδρον ἀποτοῦ. — 1742. πολάκις. ή.

καὶ παρεκάθητο νεκρὰ μετὰ πολλῆς ὀδύνης,
καὶ νεραντζέαν ἔβλεπεν ἐκ τὸ δενδρὸν ἐκεῖνον
ὡς ἄνθρωπος ἀναίσθητος, παραπεφρονημένος.
Καὶ τὸ δακτυλιδόπουλον εἰς τὸ νεράντζι δένει
μετὰ πολλῆς τῆς προσοχῆς, μετὰ πολλοῦ τοῦ τρόπου.

Κατασκευῆς μηχάνημα φέρει πολλάκις βίᾳ
εἰς ὃ Καλλίμαχος τανῦν ἔποικεν ἐξ ἀνάγκης.

Ἡ κόρη κατὰ τὸν καιρὸν καὶ τὸν συνήθη θρῆνον
ἦλθεν εἰς τὸ δενδρούτζικον, ἐκάτσεν ἀποκάτω,
ἀνέβλεψεν, ἀνέτεινεν, εἶδεν τὴν νεραντζέαν,
ἐστρίγγισε· « Καλλίμαχε, τὰς ὑποσχέσεις ὅλας
νῦν ἐψευσάμην ἐκ παντός. Σὺ γὰρ νεκρὸς εἰς Ἅδην,
ἐγὼ δὲ ζῶ καὶ φαίνομαι, περιπατῶ καὶ βλέπω·
ἀλλὰ κἂν ζῶ, τὴν αἴσθησιν ἀπονεκρώθην ὅλη,
κἂν φαίνωμαι, παράδειγμα εἰμὶ τῶν φαινομένων, | (F. 39, a.)
εἰ δὲ καὶ βλέπω, βλέπω σέ, κἂν μετ' ἐμοῦ οὐκ εἶσαι. »
Εἶπεν, εὐθὺς ἀνέτεινεν τὴν χεῖραν πρὸς τὸ δένδρον,
κρατεῖ τὸ φύλλον τοῦ δενδροῦ, τὸ δακτυλίδιν βλέπει
ἐπαίρνει το, φορένει το, φορένει κλόνον μέγαν,
τρυγᾷ χαρὰν ἀνέκφραστον ἐκ τὸ δενδρὸν ἐκεῖνο.
Χαρὰν καὶ θλίψιν σύμμικτα ἐκ τὸ δενδρὸν ἐπαίρει
καὶ μετὰ φόβου καὶ κλαυθμοῦ καὶ μετὰ θρηνῳδίας
ἀναίσθητος κατέπεσεν εἰς τὴν στρωμνὴν ἐπάνω
καὶ ταῖς ἐννοίαις κόπτεται, τοῖς λογισμοῖς κλονεῖται.

1743. πολῆς. — 1745. ἀνέσθητος. — 1746. δακτιλυδόπουλον. νεράντζη δύνη. — 1747. πολῆς. πρωσοχῆς. πολοῦ. — 1748. πολάκις. — 1749. εἴς ὁ. ἀνάγγης. Dans la marge, vis-à-vis de ce vers : γνώμη. — 1750. συνήθει θρήνον. — 1751. ἦλθεν. δεντρούτζικον ἐκάτζεν. — 1752. οἶδεν. — 1753. ἐστρήγγυσε καλήμαχε. ὑποσχαίσεις δλλας. — 1754. ἄδην. — 1755. φαίνωμαι. — 1756. δλη. — 1757. παράδηγμα. — 1758. σε. μετεμοῦ. ἦσε. — 1759. εἶπεν χείραν. — 1760. δακτιλήδην. — 1761. ἐπέρνη. φωρένει (*bis*). — 1762. τριγὰ. το. — 1763. το. ἐπέρει. — 1764. μετα. θρηνυνωδίας. — 1765. ἀναισθήτου. στρομνὴν. — 1766. αἰνοίαις.

Οὕτω δοκεῖ τὸν δάκτυλον τοῦ Καλλιμάχου βλέπειν,
ἀναψυχοῦται μετ' αὐτοῦ, παρηγορεῖται τάχα,
καὶ πάλιν ἐκ τὸ κράτημαν τοῦ δακτυλιδοπούλου
ἀγανακτεῖ, 'λιγοψυχεῖ, ζαλίζεται, κλονεῖται,
λαλεῖ μὲ τὴν καρδίαν της καὶ μὲ τὸν νοῦν της λέγει·
« Ἐκεῖνος πάντως χωρὶς νοῦν τὸ δακτυλίδιν τοῦτο
ἐφόρειν ἀπὸ τῆς ἀρχῆς βασιλικῆς του τύχης·
ἔπαιζεν ὁ Καλλίμαχος, εἰς τὸ λουτρὸν ἀπῆρεν,
εἰς τὸ λουτρὸν καὶ τὸ θερμὸν — ἐμνήσθηκα τὸν τόπον
καὶ τὸν καιρὸν καὶ τὸ λουτρὸν καὶ πάλιν ἀποθάνω. —
Ἐπῆρεν ἔβαλεν αὐτὸς μετὰ πολλῆς ἀγάπης
. . . .
καὶ τὰς τοσαύτας ἡδονὰς ἡ φθονερά μου τύχη
καὶ τὰς πικρογλυκύτητας ἐκείνας· ἐπεὶ τώρα
εἰ μόνον κἂν ἐνθυμηθῶ | πῶς παρευθὺς οὐ θάνω; (F. 39, b.)
Ἀλλ' ἴσως ἐκ τὸν δάκτυλον τίς τὸν τοῦ Καλλιμάχου
ἐπῆρεν, ὅταν ὡς νεκρὸν εἶδεν ἐκεῖνον τότε·
ἀλλὰ τινὰν οὐκ ἔφηκαν πρὸς τὸ νά τον σιμώσῃ
ἢ νά τον ἅψεται ποσῶς ἢ νά τον ἀνασμίξῃ.
Εἰ δ' οὐκ ἐξέβαλεν κανεὶς ἐκ τῶν χρυσῶν δακτύλων
τοῦ χρυσοκαλλιμάχου μου, πῶς ὧδε νῦν εὑρέθη;
ἂν τύχῃ δ' ὁ Καλλίμαχος οὐκ ἐνεκρώθην τότε,
ἀλλ' ἴσως ἡ πολύτροπος ἡ μοιχαλὶς ἡ γραῖα
μετὰ μεγάλης μηχανῆς ἐνέκρωσεν ἐκεῖνον.
Ἐμὲ γὰρ ὡς ἐφήρπασαν ἐξαίφνης ὥσπερ λύκοι

1767. οὔτω. δάκτιλον. καλυμάχου. — 1768. μεταυτοῦ παρηγορήται. — 1769. τὸ δακτιλυδοπούλου. — 1770. ζαλήζεται κλονήται. — 1771. με (*bis*). νούν. — 1772. ἐκείνο. δακτιλήδην τούτο. — 1773. ἐφόρουν. ἀπο. βασιλικοῦ μου. — 1774. ἔπεζεν. ἀπείρεν. — 1775. ἐμνήσθηκεν. — 1776. ἀποθάνα. — 1777. ἐπήρεν. πολῆς. — 1778. ἡδονὰς. — 1779. πυκρωγλυκύτιτας. ἐπειτόρα. — 1780. εἴ. ἐνθημηθῶ καὶ. — 1781. δάκτιλον. καλυμάχου. — 1782. ἐπείρεν ὅταν. εἰς. εἶδεν. — 1783. ἄρτι. τὸν νατὸν σημόσει. — 1784. νατὸν (*bis*) ἄψεται. ἀνασμήξει. — 1785. εξέβ. δακτίλων. — 1786. χρυσοκαλυμάχου. ὧδε. εὑρέθει. — 1787. ἀντίχει. ενεκρ. — 1788. ἀλλῆσως. μηχανὴς ἡ γραία. — 1789. μετα.

οὐκ ἔφθασα νά τον ἰδῶ καὶ νά τον ψηλαφήσω,
ἀλλ' ἄφωνος ἐκ συμφορᾶς ἐστάθην, νεκρωμένος,
ἀλλ' εἶδον τὸν Καλλίμαχον εἰς τὸν καιρὸν ἐκεῖνον
ἄψυχον κείμενον [νεκρὸν] πρὸς τοῦ μεσονησίου.
Λοιπὸν ὀκάτι σήμερον ἡ τύχη μου σκευάζει
καὶ πάλιν ἄλλο βούλεται πικρὸν νά με ποτίσῃ.
Τί τοῦτο; ζῇς, Καλλίμαχε, καὶ οὐκ ἐφανερώθης;
Ἐπίβουλον ἐπίστευσα πάντως τὸ πρᾶγμαν τοῦτο.
Καὶ πῶς ἀνέζησεν νεκρὸς εἰς τὸν καιρὸν ἐτοῦτον;
Ἀλλ' ἐκ παντὸς ἡ τύχη μου καὶ πάλιν μετεμάνην
καὶ πάλιν ἄλλην κάκωσιν θέλει νά με κακώσῃ.
Ἂν τύχῃ δὲ τῶν πόνων μου, τῶν δυστυχῶν μου θρήνων
ἔλαβεν κόρον μερικὸν ἡ φθονερά μου τύχη | (F. 40, a.)
καὶ συμπαθήσῃ μερικὸν καὶ συγχαρῶ μετ' αὐτον·
μαθὼν οὐκ ἔνι παντελῶς ἀκόρεστος κἀκείνη
νὰ μή ποτε καὶ κορεσθῇ, νὰ μή ποτε χορτάσῃ.
Ἂν δὲ ποσῶς ἀνέδωκεν τοῖς πειρασμοῖς ἡ τύχη
καὶ πάλιν ζῇ Καλλίμαχος, — ἀλλ' ὑπὲρ φύσιν τοῦτο·
ἡ φύσις γὰρ οὐ συγχωρεῖ νεκρὸν ἐξαναστήσειν —,
ἂν τύχῃ ζῇ, μηδ' ἔθανε, τίς ζῶντα τοῦτον ἴδῃ,
τίς μόνον συναναπλακῇ, τίς περιλάβῃ τοῦτον
καὶ λιποθύμημα γλυκὺ ἐξ ἡδονῆς γνωρίσει;
Ἂς ἴδω μήποτε καὶ ζῶν πάλιν ἀναζητήσει. »
Πᾶσαν μελέτην κατὰ νοῦν ἡ κόρη ταύτην εἶπεν
παρὰ τὴν ῥίζαν τοῦ δενδροῦ ἐκείνου καθημένη,

1791. οὐκέφθασα νατὸν ἰδῶ. νατὸν. — 1793. εἶδον. καλήμαχον. — 1795. ὃ κάτι. ἡ. — 1796. ἆλο. πυκρὸν ναμεποτήσει. — 1797. τούτυ. καλήμαχε. οὐκ εφ. — 1798. παντὸς. πράγμαν τούτο. — 1799. ἐτούτον. — 1800. μετεμέναν. — 1801. ἄλην. ναμεκακώσει. — 1802. ἀντύχει. δυστιχῶν. θρύνων. — 1803. μερικὴν ἡ. — 1804. συμπαθύσει. μεταήτον. — 1805. οὐκένι. κακείνη. — 1806. να (*bis*). χωρτάσει. — 1807. ἀνέδωκεν. ἡ. — 1808. καλήμαχος. ὑπερφύσιν τούτο. — 1810. μηδέθανε. ζώντα τούτον εἴδη. — 1811. συναναπλακεῖ. περιλάβει τούτον. — 1812. λυποθήμημα γλυκή. ὑδωνῆς γνωρήσει. — 1813. ἀς. ζὼν. αναζητίσει. — 1814-8. Ces quatre vers sont écrits comme titre dans le ms. — 1814. πάσαν. κατα. εἶπεν. — 1815. παρα. ἐκήνου.

ὅθεν αὐτὸ τὸ γνώρισμα τὸ δακτυλίδιν εὗρεν.
Μετὰ τοσούτων λογισμῶν τὴν νύκταν παρατρέχει.
Καὶ τὴν αὐγὴν μὲ τὸν κλαυθμὸν καὶ τὸν συνήθη θρῆνον
περὶ τὸν κῆπον ἔρχεται παραβιβάσαι τάχα
καὶ μετὰ σύννου σχήματος ὑπάγει πρὸς τὸ δένδρον
καὶ πάλιν βλέπει τὸ δενδρόν, ἐπιτηρεῖ τὰ φύλλα,
πῶς τὸ δακτυλιδόπουλον εἰς τὸ δενδρὸν εὑρέθη.
Ἐκεῖθεν ὁ Καλλίμαχος ἱστάμενος μακρόθεν
βλέπει τὴν κόρην, ἐκ παντὸς ἀναγνωρίζει ταύτην.
Αὐτὴν τὴν κόρην κατιδὼν Καλλίμαχος ὁ ξένος
πάθος πανθάνει | φοβερόν, ἐκ τὸν μυθευομένων. (F. 40, b.)
Ἃ δὲ πανθάνει παρ' αὐτῆς εἰς τὸν καιρὸν ἐκεῖνον
αἰσθανομένη δύναται καρδία ζωγραφῆσαι·
φωνὴ γὰρ λόγου καὶ γραφὴ οὐ παραστήσει φύσιν.
Τὸν κηπουρὸν ἡ δέσποινα κράζει τον κατὰ τύχην,
λέγει τον· « Ἔλα πρὸς ἐμέ, ὦ κηπουρέ μου γέρον.

Τῆς κόρης πρὸς τὸν κηπουρὸν ἐρώτησις καὶ λόγος,
κἀκείνου πάλιν πρὸς αὐτὴν ἀπόκρισις, ὡς πρέπει.

« Σὺ μόνος βάνεις τὸ νερὸν εἰς δροσισμόν μου τάχα
καὶ σὺ δουλεύεις τὰ φυτὰ ὅλου τοῦ τόπου τούτου;
Καὶ πῶς ἀρκεῖς ἐξαπορῶ μόνος εἰς τόσον κῆπον
καὶ τῶν λαχάνων τὰς πολλὰς ἐναλλαγὰς ἃς βλέπω·
ἄνθρωπος εἷς πῶς ἐξαρκεῖς εἰς τὸν τοσοῦτον κῆπον; »
« Μέχρι τοῦ νῦν, ὁ κηπουρὸς λέγει, τὸν κῆπον ὅλον

1816. γνόρησμα. δακτιλήδην εὗρεν. — 1818. με. συνήθει θρύνον. — 1819. κήπον. παραβηβάσαι. — 1820. μετασύνου. Bk. — 1821. ἐπιτυρεῖ. φύλα. — 1822. δακτιλυδόπουλον. εὑρέθει. — 1823. ἐκείθεν ὁ. ἱστάμενος. — 1824. ἀναγνωρήζει. — 1825-6. Ces deux vers sont écrits comme titre dans le ms. — 1827. ἅ. παραυτῆς. κερόν. — 1828. ζωγραφήσαι. — 1829. γραφῆς. — 1830. δέσπινα. κατα.— 1831. ὦ. γέρων. — 1832. ἐρώτισης. — 1833. κακήνου. — 1834. βάνης. εἰς τὸν δροσησμόν. — 1835. δουλεύης τα. ὅλου. — 1836. ἀρχῆς. κήπον. — 1837. πολὰς ἐναλαγὰς. — 1838. εἷς. ἐξαρχῆς. τοσούτον κήπον. — 1839. ὁ. κήπον ὁλον.

ἐγὼ μόνος ἐδούλευα καὶ μισθαργὸν οὐκ εἶχα.
Νῦν δ' ὡς εὑρέθη τὸ νερὸν εἰς παρηγόρημάν σου,
ὁ κόπος ἦτον περισσὸς καὶ μισθαργὸν ἐπῆρα
καὶ μισθαργὸν αἰχμάλωτον, ξένον, ἐξ ἄλλης χώρας.
Ἐξαπορῶ τὴν γέννησιν καὶ πῶς εὑρέθην ὧδε,
ὅμως θωρῶ τον φρόνιμον, ἔχει πολλὰς ἡμέρας·
δοκεῖ σε δὲ τὸν τοῦ νεροῦ κόπον οὐ μὴ βαστάζειν
καὶ σύντομον νὰ γυρισθῇ μὴ φέρων τὴν ἀνάγκην. »

Ἰδοὺ καιρὸς γλυκύτητος τῷ Καλλιμάχῳ λάμπει
καὶ συμπαθείας τυχικῆς μικρὸν ἀπολαμβάνει. | (F. 41, a.)

Ἐκείνη λέγει· « κράξε τον νὰ μάθωμεν τὴν χώραν,
τὴν χώραν τὴν τοῦ μισθαργοῦ καὶ κηπουροῦ τοῦ κήπου. »
Τὸν μισθαργὸν ὁ κηπουρὸς μετακαλεῖ καὶ κράζει·
ἐκεῖνος ἔδραμεν εὐθὺς, λιποθυμεῖ καὶ πίπτει.
Ἡ δέσποινα (;) ἀναίσθητος ἀπέμεινεν αὐτίκα·
τῆς κόρης οἱ παρήγοροι δροσίζουσιν ἐκείνην.
Ὁ κηπουρὸς τὸν μισθαργὸν ἀναφωνεῖ καὶ λέγει·
« παιδίν μου παρεφρόνησες, παιδίν μου παρετράπης; »
Ἐκεῖνος λέγει πρὸς αὐτόν· « μονονοῦ παρετράπην,
ἀλλὰ καὶ τί ποτε κακόν; ἄλλον πανθάνω χεῖρον,
τὴν νέκρωσιν καὶ πνιγμονὴν ὡς εἶδον τῆς δεσποίνης.
Καὶ τίς γὰρ ἴδῃ δέσποιναν καὶ τόσον κάλλος κόρης
καὶ παρευθὺς οὐχὶ νεκρὸς ἐκεῖνος ἀπομένει; »

1840. ἦχα. — 1841. δὲ. εὑρέθει. — 1842. ὁ κῆπος ἦτον περισὸς. ἐπήρα. — 1843. ἐχμάλοτον. ἐξάλης. — 1844. γένισην. εὑρέθειν ὧδε. — 1845. ὅμως θορῶ. φρόνημον. ἔχη. ἡμέρας. — 1846. δοκεῖσαι. βαστάζει. — 1847. ναγηρησθῇ. ἀνάγγην. — 1848. γλυκήτιτος. — 1849. συμπαθίας. μηκρὸν. — 1850. να. — 1851. κυπουροῦ. — 1853. λυποθημεῖ. — 1854. ὁ μησθαργὸς. ἀπέμηνεν. — 1855. οἱ. ἐκήνην. — 1856. ὁ κυπουρὸς. — 1857. παρεφρώνησες. — 1858. ἐκείνος. μόνον οὐ παρετράπειν. — 1859. χείρον. — 1860. πνηγμονὴν. οἶδον. δεσπίνης. — 1861. οἴδη δέσπιναν. κάλος. — 1862. οὐχὴ.

Τῆς κόρης ἐπανάκλησις ἀπὸ ᾿λιγοθυμίας.

Ἡ κόρη γοῦν πρὸς τὸν λαὸν ἀπὸ ψυχῆς θλιμμένης
λέγει· « μικρὸν ἀφῆτέ με, μικρὸν ὑποχωρεῖτε,
ἀφῆτέ με μὴ παντελῶς τώρα παραφρονήσω.
Ἀγανακτῶ τοὺς λόγους σας, φονεύει με τὸ πλῆθος,
ὁ τόπος τούτος πνίγει με καὶ τὸ παλάτιν τοῦτο.
Φρουντζάτον θέλω εὔμορφον νὰ ποίσετε εἰς τὸν κῆπον
καὶ τὸ νερὸν ἐκ μηχανῆς τριγύρου τοῦ φρουντζάτου
καὶ χορτινίτζαν γύρωθεν καὶ δουλευτὰς ὀλίγους
ἢ μᾶλλον μηδὲ δουλευτὰς, ἀλλὰ | καυχίτζαν μίαν. (F. 41,b.)
Ἐξηγριώθην παντελῶς ὑπὲρ ἀνθρώπου φύσιν,
ἀλλὰ κακὸν ἀβάστακτον ὀκάτι με προσμένει. »
Τὸ πλῆθος γοῦν, ὡς ἤκουσεν τοὺς λόγους τῆς δεσποίνης,
τὸν ὁρισμὸν ἐπλήρωσαν ὡς ὥρισεν ἐκείνη.
Εὐθὺς φρουντζάτον καὶ νερὸν εὑρέθηκεν καὶ τρέχει,
καὶ γύρωθεν εὐγενικὸν μαγνάδιν εἰς κουρτίναν
χρυσογνημάτην, θαυμαστὴν, παμπλούμιστον, ὡραίαν
καὶ στρῶμαν κείμενον ἐν γῇ μετὰ χαρίτων τόσων
καὶ παριστάμενος ἐκεῖ μόνη καυχίτζα μία.
Ἡ δέσποινα μετὰ πνιγμοῦ καὶ σχήματος ἀγρίου
ἀνεσηκώθην, ἔδραμεν, ἐπῆγεν εἰς τὸν τόπον
ὅπου τὸ στρῶμαν ἔκειτο καὶ τὸ φρουντζάτον ἦτον.
Νὰ κουβαλήσουν τὴν τροφὴν ἐζήτησεν ἡ κόρη

1863. ἀπολυγοθημίας. — 1864. ἀπο. θλημένης. — 1865. μηκρὸν ἀφείται μοι μηκρὸν ὑποχωρήται. — 1866. ἀφήται. τόρα παραφρωνήσω. — 1867. ἀγχανακτὼ. λόγου σας. πλήθος. — 1868. τούτος πνήγη. τούτο. — 1869. ναποίσεται: κήπον. — 1870. τριγήρου. — 1871. χορτινήτξαν. ὀλύγους. — 1872. μάλλον μήδὲ. μήαν. — 1873. ὑπερ. — 1875. πλήθος: οἴκουσεν. δεσπίνης. — 1876. ορισμὸν. ὤρησεν. — 1877. εὑρέθηκεν. — 1878. μαγνάδην ὡς. — 1879. χρυσόκνιμάτιν. πανπλούτηστος. ωραία. — 1880. στρώμαν: γὴ μετα. — 1881: ἐκεὶ. καυχήτζα μήα. — 1882. ἡ δέσπινα μετα: σχίματος. — 1883. ἀνεσυκόθην. ἐπήγεν. — 1884: ὅπου: στρόμαν: ἦτον. — 1885. να. ἐζήτισεν ἡ:

εἰς τὸ φρουντζάτον κατὰ γῆς· πλὴν τὴν καυχίτζαν λέγει·
« σὺ μόνη μὲ τὴν δούλευσιν καὶ τὴν τροφήν μου ταύτην·
μὴ σκουτελᾶς, μὴ μάγειρος, μηδὲ ἐπιτραπέζης
ἢ κἂν δομέστικος ἁπλῶς μηδὲ κανεὶς σιμώσῃ.
Ἂς ζήσω μὲ τὴν μόνωσιν, ἂς ἀνασάνω μόνη.
Ἐπνίγην, ἀλλὰ τὸν πνιγμὸν οὐ δύναμαι βαστάζειν,
ἂν δ' ἴσως καὶ συμπνίγωμαι, στενοχωροῦμαι πάλιν,
ἄς το γνωρίσω μόνη μου· μάρτυρας γὰρ οὐ θέλω. »
Ἐκάθησεν ὡς ἐπὶ γῆς, ἤρξατο τρώγειν μόνη.

Τράπεζα, βρῶσις καὶ τροφὴ τῆς κόρης Χρυσορρόης
μόνης πρὸς τὸ φρουντζάτον της καὶ πρὸς τὸ περιβόλιν. | (F.42,a.)

Καὶ παρευθὺς λιποθυμεῖ καὶ τὴν καυχίτζαν λέγει·
« βάλε φωνὴν τὸν κηπουρὸν μὴ νά τον δώσῃ ῥόδα
τὸν μισθαργὸν καὶ φέρῃ μας εἰς παρηγόρημά μου. »
Ἐκείνη λέγει· κηπουρὲ, τὸν μισθαργόν σου πέμψε
καὶ δός τον ῥόδα περισσὰ μὴ νά μας φέρῃ τώρα. »
Καὶ παρευθὺς ὁ μισθαργὸς εὑρέθη μὲ τὰ ῥόδα·
εἰς θέσιν γὰρ καὶ λογισμὸν καὶ ἀκοὴν καὶ γνῶσιν
πρὸς τὴν φωνὴν ηὐτρέπισεν ὁ μισθαργὸς πρὸς τούτου·
ὅθεν εὑρέθη πρὸς αὐτὴν σὺν ἐφωνῇ τὰ ῥόδα,
τὸ μέγαν παρηγόρημαν τῆς παραξένου κόρης.
Ἐκείνη τὴν καυχίτζαν της ἐξαποστέλλει τάχα,
οὐκ οἶδα πῶς λανθάνει με, ἐλησμονῶ τὸν τρόπον,
καὶ πάλιν μετὰ σχήματος ὑπογελῶσα λέγει·

1887. μετὴν. — 1888. σκουτελᾶς. μάγηρος μηδὲ ἐπεὶ τῆς. — 1889. χανδὲμέστικος ἀπλῶς συμόσει. — 1890. ἄς. μετὴν μόνοσην. ἄς. — 1891. ἐπνήγειν. πνηγμὸν. — 1892. ἀν. συμπνήγωμαι στενοχωρούμαι. — 1893. ἀς τὸ γνωρήσω μώνη. μάρτιρας. οὐδέλω. — 1894. ἀπογῆς. — 1895. βρώσις. τρωφὴ. χρησορρώης. — 1896. μόνη πρὸς το. περιβόλην. — 1897. λυποθημεῖ. — 1898. βελε. μήνα τὸν δώσει ρόδα. — 1899. φέρη. παριγόρημάν. — 1900. πέμψαι. — 1901. περισὰ μή να μας φέρει τόρα. — 1902. ὁ. εὑρέθει με τα. — 1903. γνώσιν. — 1904. ηὐτρέπησεν. — 1905. ὅθεν εὑρέθει. συνεφωνεῖ. — 1907. καυχήτζαν. ἐξαποστέλει. — 1908. ἐλισμονῶ. — 1909. μετα.

Λόγος γλυκὺς, εὐφρόσυνος πρὸς μισθαργὸν τῆς κόρης.

« Καὶ πῶς τολμᾷς, βασιλικὴν τὴν τράπεζαν σιμόνεις
ξένος πτωχὸς καὶ μισθαργὸς νὰ παρακύψῃς ὅλως,
νὰ μὴ λαλήσῃς ἄνθρωπον καὶ πέψῃς μας τὰ ῥόδα; »
Κύπτει, φιλεῖ τὴν δέσποιναν ἐκεῖνος μετὰ πόθου,
ἁρπάζει, κλέπτει τὸ φιλὶ μετὰ χαρίτων πόσων,
καὶ χείλη ῥόδου κρείττονα φιλήσας μετὰ ῥόδων
ἐπῆρεν ἄλλον φίλημα ἀντὶ τῶν ῥόδων τότε.
Ἡ δέσποινα βασιλικῶς ὁρίζει τὴν καυχίτζαν·
ἦλθεν καὶ γὰρ, ἐστράφηκεν, τὸν ὁρισμὸν τοῦ λόγου
πληρώσασα [δουλοπρεπῶς, τὸν τῆς δεσποίνης λόγον· (F.42,b.)
« ἀπὸ χειρῶν τοῦ μισθαργοῦ ἔπαρον σὺ τὰ ῥόδα. »
Ἐπαίρνει, φέρει, δίδει τα τὴν δέσποιναν τὰ ῥόδα
καὶ τὴν πνοὴν τοῦ μισθαργοῦ κομίζει μὲ τὰ ῥόδα.
Ἡ δὲ καὶ πάλιν ἀρχικῶς, βασιλικῶς προστάττει
δῶρα λαβεῖν τὸν κηπουρὸν καὶ φιλοτιμηθῆναι,
τὸν μισθαργὸν δὲ δάγκαμαν ψωμὶν κομμάτιν μόνον,
καὶ κρύπτει το τὸν μισθαργὸν καὶ μετὰ σχῆμαν τοῦτον
ὅλον ἐρώτων ἐκ παντὸς τὴν χάριν ὑποπνέει
καὶ παίζει μὲ τοὺς Ἔρωτας καὶ μὲ τὴν Ἀφροδίτην,
καὶ τῶν ἀπείρων πνιγμονῶν καὶ τῶν κλαυθμῶν ἐκείνων
καὶ τῶν ἀμέτρων στεναγμῶν λύσιν εὐθὺς λαμβάνει.
Οὕτως μετὰ γλυκύτητος παρῆλθεν τὴν ἡμέραν,

ὑπογελώσα. — 1910. γλυκής. — 1911. σημόνης. — 1912. ναπαρακήψης ὅλως. — 1913. ναμὴ λαλήσεις. πέψεις. — 1914. κήπτει. δέσπιναν. μετα. — 1915. ἁρπάζει. φιλὴ μεταχαρήτων. — 1916. κρήττονα φειλήσας μετα. — 1917. ἐπήρεν. ἀντιτῶν. — 1918. δέσπινα βασιληκῶς ὁρίζει. καυχήτζαν. — 1919. ἦλθεν. ὁρισμὸν. — 1920. πληρόσασα. δεσπίνης. — 1921. ἀπο. — 1922. ἐπέρνει. δίδη. δέσπιναν. — 1923. κομήζει μετα. — 1924. ἡ. ἀρχηκῶς. πρὸς τάττει. — 1925. δόρα. φυλοτιμηθήναι. — 1926. δαγκαμὰν ψωμὴν κομάτην. — 1927. κρίπτι. μοισθαργὸν. μετα. τούτον. — 1928. ὅλον. ὑποπνέει. — 1929. πέζει με (*bis*). ἀφρωδήτην. — 1930. ἀπήρων πνηγμονῶν. — 1931. εὐθής. — 1932. οὕτως μεταγλυχήτιτος παρήλθεν. ἡμέραν.

καὶ πάλιν ἔφθασεν ἡ νὺξ, ἦλθεν ἐρώτων χάρις,
ἦλθεν ἡ νὺξ μετὰ φωτὸς ἡμερινῶν ἐρώτων,
τὰς ἡδονὰς μετὰ σαρκὸς ἐνσωματῶν τὴν χάριν.

Τῆς κόρης μεταχείρισις, μελέτημα καὶ σκῆψις
ὡς ἂν τὸ πλῆθος σκορπισθῇ, μόνη της αὔτη μείνῃ.

Ἡ δὲ καυχίτζα παρευθὺς ἐπαίρει τὴν κορτίναν·
ἐμπαίνει, πίπτει μόνη της καὶ λέγει πρὸς τοὺς ἄλλους·
« Ἀπὸ τοῦ τόπου μερικὸν ἀνασασμὸν εὑρίσκω·
μόνον οὐ θέλω πνιγμονὴν, πλῆθος οὐ θέλω βλέπειν.
Βλέπω τὸ σχῆμάν μου κακὸν, τὸν νοῦν μου ζαλισμένον
καὶ τῆς καρδίας μου πολλὴν|ἀπὸ τοῦ πλήθους ζάλην. » (F.43,a.)
Ἀφῆκεν, ἀπεχώρησεν, ἐμίσσευσεν τὸ πλῆθος.
Ἦλθεν ἡ νὺξ καὶ παρευθὺς πρὸς τὴν καυχίτζαν λέγει·
« Ἂς πέσω μὴ νὰ κοιμηθῶ, πλὴν παραγγέλλω σέ το·
ἀπέξω τοῦ φρουντζάτου μου καὶ τῆς κορτίνας πέσε·
ἀνθρώπου γὰρ ἀνασασμὸν ποσῶς οὐχ ὑποφέρω. »
Ἐγένετο καθ' ὁρισμὸν καὶ τοῦτο τῆς δεσποίνης;
καὶ μετὰ πρώτην τῆς νυκτὸς ἢ τὴν δευτέραν ὥραν
ἀνέτρεχεν, παρέτρεχεν ὁ μισθαργὸς τὸν κῆπον,
εἰς τὸ φρουντζάτον ἤγγισεν, ἦλθεν πρὸς τὴν κορτίναν,
εἶδεν ἐκεῖ τὴν δέσποιναν, ἐκείνη βλέπει τοῦτον.
Ἀνεσηκώθην ἔντρομος ἐκείνη μετὰ πόθου,
ἐκεῖνος ὡς ὑπόπτερος ἐσέβην ὡς ἐκείνην,
καὶ πῶς συνανεπλάκησαν καὶ μετὰ πόσου πόθου

1933. νὶξ. — 1934. ἡ. μετα. ἐρότων. — 1935. ἡδονὰς. μετα. ἐνσωματὼν. — 1936. μεταχήρισης. — 1937. πλήθος σχορπισθεῖ. αὖτη μίνει. Ces deux vers sont écrits dans le manuscrit à la suite. — 1938. κορτήναν. — 1939. ἐμπένει. — 1940. ἀπο. εὑρήσκω. — 1941. πλήθος. — 1942. σχήμαν. — 1943. πολὴν ἀπο. — 1944. ἀφήκεν. ἐμήσευσεν. πλήθος. — 1945. ἡ. — 1946. ἀς. μήνα κημηθῶ. παραγγέλω σέτω. — 1948. υποφέρω. — 1949. καθορισμὸν. τούτο. δεσπίνης. — 1950. μετα. ὧραν. — 1951. κήπον. — 1952. φρεντζάτον ἤγγησεν. — 1953. εἶδεν ἐκεὶ. δέσπιναν. τούτον. — 1954. μετα. — 1955. ὑπόπτερος. — 1956. μετα.

καὶ μετὰ πόσης ἡδονῆς καὶ ποταπῆς καρδίας
λόγος οὐ δύναται λαλεῖν κἂν ὅσην ἔχῃ χάριν,
καρδία δύναται λαλεῖν αἰσθητικὴ καὶ μόνη.
Ἀπὸ γὰρ τοῦ φιλήματος ἀνέκφραστος γλυκύτης
ὡς ποταμὸς ἐπότιζε καλὸς νεκρὰς καρδίας.
Ὡς γὰρ ποτίζει ποταμὸς δένδρη καταψυγμένα,
οὕτω καὶ φίλημα νεκρὰν παρηγορεῖ καρδίαν.
Φιλήματα τὰ τῆς νυκτὸς ἂν ἔτυχες, ἂν εἶδες,
ἐκεῖθεν ἀποχωρισμὸς ἀλλ' οὐ ποσῶς οὐκ ἦτον.
Καὶ μετὰ τὰ φιλήματα καὶ τῆς νυκτὸς τὸ πλέον
ἐκοίτασε | μεθ' ἡδονῆς καὶ συνεσωματώθην. (F. 43, b.)
Ἐκείνη τὸν Καλλίμαχον περιεπλάκη πάλιν,
καὶ λιποθύμημα γλυκὺ εἰς τὸν καιρὸν ἐκεῖνον
καὶ ξένην ἄλλην ἡδονὴν ἔγνωσαν εἰς τὰ δένδρη (;)
καὶ συνεκαρδιώθησαν πάλιν νεκραὶ καρδίαι,
ἀνέζησαν εἰς τὸν καιρὸν ἐκεῖνον πάλιν τότε·
ψυχὰς πνιγμένας παντελῶς ἀπὸ τοσούτου πόθου,
ἀνέθαλον, ἀνέζησαν εἰς τὸν καιρὸν ἐκεῖνον.
Ἐκεῖ καὶ βρύσεις, ὀχετοὶ ἀπὸ χαρᾶς δακρύων
ἔδραμον τότε καὶ καλὴν ὁ ποταμὸς τὴν χάριν
εἶχεν, πολλὴν ἀπὸ πηγῆς δακρύων ἐνηδόνων.
Παρέδραμεν, ἐξέλιπεν ἡ νὺξ ἐκείνη τότε,
ἡ νὺξ ἡ χαριτόβρυτος, τὰς ἡδονὰς ἀνθοῦσα,
ἡ νὺξ, τὸ φῶς τῶν ἡδονῶν καὶ δροσισμὸς ἐκείνων.
Τάχα χαράσσειν ἤρξατο καὶ τῆς αὐγῆς ἡ χάρις,

1957. μετα. — 1958. ὅση ἔχει. — 1959. αἰσθητικὸν. — 1960. ἀπο. γλυκήτης. — 1961. ἐπότηζε καλὰς. — 1962. καταψηγμένα. — 1963. οὕτω. φύλημα. — 1964. νηκτὸς ἀνέτυχες ἀνῆδες. — 1965. ἐκείθεν. ἧττον. — 1966. ταφηλήματα. — 1967. ἐκείτασε μεθηδονῆς. συνεσυματώθην. — 1968. καλήμαχον περὶ ἐπλάκει. — 1969. λυποθύμημα γλυκὴ. τὸ νερὸν. — 1970. ἰδονὴν (ε). — 1971. ναικραι. — 1975. ἐκεὶ. βρίσις ὀχετὴ ἀπο. — 1977. εἶχεν πολὺν ἀποπιγῆς. — 1978. ἡ. — 1979. ἡ. χειροτόβριτος. ἰδονὰς ἀνθούσα. — 1980. ἡ. φῶς. ἰδονῶν. δρόσιμος. — 1981. χαρὰ συνήρξατο.

ἀλλὰ τὴν χάριν τῆς αὐγῆς ὡς σκότος εἶδεν τότε·
μετὰ κλαυθμῶν καὶ στεναγμῶν καὶ στενοχωρημάτων
ἐσχίστησαν τὰ σώματα, φοβούμενα τὸ πλῆθος.
Ὁ μισθωτὸς ὡς μισθωτὸς ἐξέβην πρὸς τὸν κῆπον,
κηπεύων τάχα τὰ φυτὰ καὶ τὰ δενδρὰ φυτεύων·
ὡς δέσποιναν τὴν δέσποιναν ἀφῆκεν εἰς τὸ στρῶμαν,
τὸ στρῶμαν τὸ βασιλικὸν, καὶ τὸ λαμπρὸν φρουντζάτον
ὑπέστρωσεν ἡμερινῶς μετὰ χαρίτων ὅλων
καὶ τῶν ἐρώτων ἀρχηγὸς, καλλωπιστὴς ἐγείνη.
Ἀμεριμνοῦσι τὸ λοιπὸν ἀπὸ χαρᾶς ἐκείνης·
ἡ δέσποινα μετὰ καλῆς | ψυχῆς, ἀναπαυμένης (F. 44, a.)
εἰς τὸ ἀφρόδιτον, καλὸν τοπίτζιν ἐκοιμᾶτο,
ὁ μισθωτὸς ἀπὸ μακρὰν εἰς δένδρον ἀποκάτω
ὡς μισθωτὸς καὶ κηπουρὸς εἰς τὸ λιβάδιν κεῖται.
Τὸ πλῆθος τὸ παρήγορον, οἱ ἐφεξῆς τῆς κόρης
ἦλθον ἐγγὺς, ἐκάθησαν καὶ τὴν καυχίτζαν εἶδον,
ἠρώτησαν, ἐμάθασιν πῶς ἐνεπαύθην τάχα.
« Τὴν νύκταν οὐκ ἐλάλησεν, εἶπέν τους ἡ καυχίτζα,
ἀλλ' ἀκόμη τὸν ὕπνον της, ὡς βλέπετε, κοιμᾶται. »
Ἐκεῖνοι τὴν ἀνάπαυσιν, τὸν ὕπνον τῆς δεσποίνης
ὡς ἔμαθον, ἐχάρησαν, ἀλλὰ χαρὰν μεγάλην
καὶ πάλιν ἐκαρτέρησαν. Καὶ πρὸς τὸ μεσημέριν
ἐξύπνησεν ἡ δέσποινα καὶ τὴν καυχίτζαν λέγει·
« ἂς ἔλθωσιν οἱ θέλοντες εἰς τὴν προσκύνησίν μου,
πλὴν πάλιν ἂς μισσεύσωσιν. Ἡ γὰρ σιγή μου ταύτη

1982. εἶδεν. — 1984. ἐσχήστησα. πλήθος. — 1985. μησθοτὸς (*bis*). κήπον. — 1986. κηπευων. — 1987. δέσπιναν (*bis*) ἀφήκεν. στρόμαν. — 1988. στρόμαν. φρεντζάτον. — 1989. ἧν ἔστρωσεν. μετα. δλλων. — 1990. καλωπιστής ἐγήνει. — 1991. ἃ μεριμνούσει. ἀπο. ἐκήνης. — 1992. δέσπινα μετα. — 1993. τὸν. καλλὸν τὸπίτζιν ἐκημάτο. — 1994. μισθοτὸς ἀπο. — 1995. μησθοτὸς. λιβάδην κήται. — 1996. πλήθος. οἱ. — 1997. καυχήτζαν οἶδον. — 1998. εἰρώτισαν. — 1999. νίκταν. ελάλησεν. εἶπεν. — 2000. ὕπνον. βλέπεται κημάται. — 2001. ἐκείνοι. ὕπνον. δεσπίνης. — 2004. ἐξίπνησεν. δέσπινα. — 2005. ἀς. προσκήνησίν. — 2006. ἀς μησεύσωσιν. μοι.

καὶ τοῦτό μου τὸ μόνωμαν παρηγορεῖ με τάχα. »
Ἐκείνη κράζει τοὺς πιστοὺς τοὺς καρτεροῦντας ἔξω
καὶ δουλικῶς εἰσέρχονται καὶ προσκυνοῦσι πάντες.

Προσκύνημαν δουλοπρεπῶς παρὰ τῶν μεγιστάνων
πρὸς δέσποιναν τὴν χρυσαυγῆν, κόρην τὴν Χρυσορρόην.

Μανθάνουσι τὴν μερικὴν ἀνάπαυσιν τῆς κόρης
καὶ χαίρουσιν εἰς τὸ καλὸν τὸ παρηγόρημάν της.
Ἐκείνη λέγει πρὸς αὐτούς· « καὶ πάλιν τοῦτο λέγω, | (F.44,b.)
τὴν μόνωσιν καὶ τὸ καλὸν τοῦτο, μικρὸν τοπίτζι
εὑρίσκω καὶ τὴν σήμερον εἰς παρηγόρημάν μου,
ὅπως τὴν σήμερον αὐτὴν καὶ πάλιν τὴν ἑσπέραν·
λοιπὸν ὑπάγετε καλῶς καὶ μόνη πάλιν πέσω,
μονάσω πάλιν ὡς ὀψὲ καὶ πάλιν ἡσυχάσω.
Εἰς ταύτην μου τὴν μόνωσιν τὴν νῦν ἐκατακρίθην. »

Ἀπόκρισις τῶν εὐγενῶν πρὸς τὴν καλὴν τὴν κόρην.
Λέγω την δὲ κ' ἐγὼ καλήν, καθὼς το διηγεῖται.

Εἶπον ἐκεῖνοι· « τὸν πνιγμὸν καὶ τοὺς πολλούς σου πόνους
καὶ τὰ λιποθυμήματα τὰ καθημερινά σου
καὶ τοὺς καθ' ὥραν στεναγμοὺς, ἀναταμμοὺς ἐκείνους
ὅσους τὸ σὸν πανευγενὲς ἐσυνετάχην σῶμαν
ἡμεῖς συνεπνιγόμεθα, συνεπονοῦμεν τότε·
καὶ νῦν, ἂν ζήσῃς μερικόν, ἂν ἀνασάνῃς μόνον,
χωρὶς ὀδύνης καὶ κλαυθμοῦ ὥραν ἂν ποίσῃς μίαν,

2007. τούτο. μόνομαν παρηγορήμαι. — 2008. χαρτερούντας. — 2009. προσκηνούσει. — 2011. προςδέσπιναν. χρυσαυγὴν. χρυσορρώην. — 2014. ἐκήνη. τούτο. — 2015. μόνασιν. τούτο. μηκρὸν τοπίτζη. — 2016. εὑρίσκω. παριγόρημάν. — 2017. ὅμως. ἐσπέραν. — 2018. ὑπάγεται καλὸς. — 2019. ὡς. εἰσιχάσω. — 2020. μόνοσην. ἐκατακρήθην. — 2022. καὶ ἐγὼ. καθῶς. διηγίσε. — 2023. εἶπον ἐκείνοι. πολού. — 2024. λυποθημήματα ταχαθημερηνά. — 2025. καθώραν. — 2026. ὃς εἰς τοσὸν. ἐσυνετάκειν σώμαν. — 2027. συνεπνιγώμεθα συνεπονούμεν. — 2029. ὠδύ-

ὡς μέγαν εὐεργέτημαν καὶ χάριν προσκυνοῦμεν.
Ὑποχωρήσωμεν λοιπὸν καὶ μόνον ἀναπαύου·
τὴν γὰρ ἀνάπαυσιν τὴν σὴν ὁ βασιλεὺς μανθάνει,
κἂν ἴσως καὶ κακοπαθῇ, κἂν καὶ πολέμους ἔχῃ
τῷ παρηγόρημα τῷ σῷ ἀναπαυθῇ καὶ ζήσει
καὶ συντομώτερον ἡμεῖς ἀπομελανωθοῦμεν. »
Πάντες λοιπὸν ἐμίσσεψαν καθ' ὁρισμὸν ἐκείνης.
Ἡ δέσποινα | περιπατεῖ περὶ τὸν κῆπον μόνη (F. 45, a.)
καὶ περιτρέχει τὰ φυτά, παραδιβάζει τάχα.

Ἠθικὸν παραδίβασμα τῆς κόρης πρὸς τὸν κῆπον.

Εὑρίσκει καὶ τὸν κηπουρὸν κηπεύοντα τὸν κῆπον
καὶ μετ' αὐτοῦ τὸν μισταργὸν συνάγοντα τὰ ῥόδα,
συνάγοντα καὶ λέγοντα καὶ ξένον καταλόγιν·

Τὸ καταλόγιν μάνθανε τοῦ ξένου Καλλιμάχου.

« Τὸν ἡ προχθὲς θλιβόμενον, λυπούμενον ἡ ἄλλη,
ἥδε ἡμέρα σήμερον ὁλόχαρον τὸν ἔχει.
Τὸν πᾶς ὁ κῆπος ἔκλαιεν ἐκ τὰ στενάγματά του
βλέπει τον τώρα, χαίρεται, μεγάλην ἔχει τέρψιν.
Ὁποῦ τὸ φέγγος ἔλεγεν μετὰ πολλῶν δακρύων
νὰ συμπονῇ τὸν πόνον του, νὰ συνεδράμῃ τοῦτον
τώρα τὸ λέγει νὰ χαρῇ, νὰ λάμψῃ, νὰ φαιδρύνῃ
καὶ πρὸς τὴν ὀρθοδρόμησιν τῆς στράτας του νὰ τρέχῃ.
Ὁποῦ τὴν τύχην ἔλεγεν μετὰ πολλῶν δακρύων

νης. ὥραν. — 2030. ευεργ. χάρην.— 2031. ὑποχ.— 2032. ὁ.— 2033. κακοπαθεῖ. ἔχει. — 2034. τωσῶ ἀναπαυθεῖ. ζήσει. — 2035. συντομότερον. ἀπομελανοθούμεν. — 2036. ἐμήσεψαν καθορησμὸν. — 2037. δέσπινα. κήπον. — 2039. κήπον.— 2040. εὑρίσκει. κήπον. — 2041. μεταυτοῦ. τα. — 2042. καταλόγην. — 2044. θληβόμενον. ἡ. — 2046. ὅλος ὁκύπος ἔκλεεν. — 2047. τόρα. — 2048. ὁποῦ. μετα. — 2049. νασυμπονεῖ. συνενδράμει τούτον. — 2050. τόρα τὸν. ναχαρεῖ ναλάμψει ναφαιδρήνει. — 2051. ὠρθοδρόμησην. νατρέχει, — 2052, ὁποῦ.

νὰ συμπαθήσῃ μερικὸν τὰ θλιβερὰ τὰ τόσα,
εὐχαριστεῖ την σήμερον, δοξάζει, μεγαλύνει. »

Ἡ κόρη πρὸς τὸν κηπουρὸν ἄκουσε τί τον λέγει.

Καὶ λέγει πρὸς τὸν κηπουρόν· « ὅταν ζητήσω ῥόδα,
ἐγὼ τὰ ῥόδα δέξομαι καί σε φιλοτιμήσω,
ἂν μόνον μου τὸ πρόσταγμαν συντόμως ἐκπληρώσῃς.
Τὸ δὲ καλὸν ποδαρικὸν τοῦ μισθαργοῦ σου τούτου| (F. 45,b.)
καὶ τοῦ νεροφορήματος τὸν κόπον ἔπαυσέ σε,
καὶ πρὸς χαράν σου μερικὴν τραγουδητὴς ἐξέβην. »
Εἶδεν ἐκεῖ τὸν μισθαργόν, ὁ μισθαργὸς ἐκείνην,
καὶ πάλιν ἄλλην ἡδονὴν ἀπὸ τὴν ὄψιν τότε
ἔρως ὑπεζωγράφισεν μετὰ χαρίτων πόσων.
Ὁ κηπουρὸς μετὰ μικρὸν ἐκεῖθεν ἐμετέστην,
τὸν κῆπον ἀγωνούμενος, τὰ τῶν φυτῶν σπουδάζων
καὶ μόνος ἦν ὁ μισθαργὸς σὺν μόνῃ τῇ δεσποίνῃ.
Καὶ μετὰ λόγου γλυκεροῦ, γλώσσης ἐρωτευμένης
καὶ μετὰ σχήματος δεινοῦ καὶ τάχα σεμνοτέρου,
κἂν ἦν ἐκεῖ τὸ εὔνοστον (;) παιγνίδιν τῶν ἐρώτων,
τῆς Ἀφροδίτης παίδευμα, ζωγράφημα Χαρίτων,

Λόγοι δεσποίνης ἠθικοὶ δῆθεν ὀργιζομένης
πρὸς τὸν πτωχὸν τὸν μισθαργόν, τὸν ἐκ τῆς τύχης ξένον.

